***Ἀριθ. 11 (εἰκ. 11. Καταλ. ἀριθ. 228).*** Μάρμαρον Δολιανῶν. Ὕψ. 0·44, πλάτ. 0·26, πάχ. 0·09. Ὡς ἐκ τῆς εἰκόνος φαίνεται, ἐπὶ τῆς πλακὸς ταύτης δὲν ἔχομεν ὡς ἐν πᾶσι τοῖς ἀνωτέρω, ἕνα μόνον ἑρμῆν ἀλλ' ἐν ὅλῳ τρεῖς συνηνωμένους. Τὴν ἐν γράμμασι τοῦ Δ' αἰῶνος ἐπιγραφὴν ***Νυμφᾶν*** ἐδημοσίευσεν ὁ Mendel (BCH XXV 276), ἰδὼν τὸ μάρμαρον ἐν τῇ αὐλῇ τοῦ ἐν Πιαλῇ Β. Γιαννίλου καὶ περιγράψας αὐτὸ ἁπλῶς ὡς στήλην. Ἀλλ' ὅτε κατ' αὔγουστον τοῦ 1907 ἐξήτασα τὴν πλάκα ἐν τῇ αὐτῇ αὐλῇ κατακειμένην, ἠδυνήθην μετὰ βραχὺν δισταγμὸν νὰ παρατηρήσω, ὅτι δύο ἀβαθεῖς μὲν ἀλλὰ τεχνικῶς κεχαραγμέναι γραμμαὶ διῄρουν τὴν στήλην εἰς τρία μέρη, ἀνταποκρινόμενα ἀκριβῶς πρὸς τὰ ὑπερκείμενα πυραμίδια. Οὐδεμία ἐντεῦθεν ἀπέμεινεν ἀμφιβολία, ὅτι ἐπὶ τῆς παρερριμμένης ταύτης πλακός, ἥτις πολλάκις ἐχρησίμευσεν εἰς τὰς χρείας τῆς πλυνούσης οἰκοδεσποίνης, ἔχομεν τρεῖς ἑρμαϊκὰς στήλας ἀφιερωθείσας ποτὲ εἰς τὴν χαρίεσσαν τριάδα τῶν Νυμφῶν. Τὴν ἑρμηνείαν ταύτην ἐστήριζεν ἐπὶ πλέον ἡ ἐν τῷ τεγεατικῷ μουσείῳ πρὸ πολλῶν ἐτῶν φυλασσομένη πλὰξ μετὰ ἓξ συνεχομένων ἑρμῶν τοῦ συνήθους τύπου, ὧν οἱ τετράπλευροι κορμοὶ χωρίζονται ἐπίσης διὰ καθέτων γραμμῶν.



*Εἰκὼν 11. Ἑρμαῖ Νυμφῶν.*

Ἡ οὕτω γνωσθεῖσα μετὰ τριῶν ἑρμῶν στήλη ἐγένετο κατόπιν μεγάλως χρήσιμος. Διότι ἐν πρώτοις τὸ πρὸς τὰ δεξιὰ τοῦ μνημείου τῶν Νυμφῶν ἀπεικονιζόμενον τεμάχιον κατέστη εὐνόητον. Προέρχεται ἐκ τῆς ἀνασκαφῆς τοῦ ὑπὲρ τὰ Δολιανὰ ναϋδρίου τῆς Ἀρτέμιδος καὶ εἶναι τὸ δεξιὸν ἄκρον στήλης μετ' ἀγνώστου ἀριθμοῦ ἑρμῶν, ἐν ὧν διασῴζονταί πως δύο πυραμίδια ἐρειδόμενα ἐπὶ διπλῆς βάσεως. Ἐκ τῆς αὐτῆς ἀνασκαφῆς προῆλθον καὶ δύο ἄλλα προσόμοια τεμάχια στηλῶν, ἅτινα συνεκομίσθησαν εἰς τὸ μουσεῖον πρὸς δήλωσιν τῆς ἐν Τεγέᾳ συχνότητος τῶν τοιούτων μνημείων. Ἐν τέλει διὰ τοῦ αὐτοῦ μέσου κατενοήθησαν καὶ δύο μεγάλα, ἀνεξήγητα τέως, τεμάχια μαρμάρου, κατακείμενα μετ' ἄλλων ἀρχιτεκτονικῶν μελῶν ἐν τῷ κήπῳ τῆς Π. Ἐπισκοπῆς. Ταῦτα ἀναγνωρισθέντα μετηνέχθησαν εἰς τὸ μουσεῖον καὶ περιγράφονται κατωτέρω.

***Ἀριθ. 12 (Καταλ. ἀριθ. 232).*** Δύο τεμάχια ἐκ μαρμάρου Δολιανῶν, ὧν ἑκάτερον ἔχει σῳζόμενον ὕψος περίπου 0·51 καὶ πλ. 0·68. Ἡ ἐργασία καὶ ὄπισθεν ἡ αὐτὴ ἀκριβῶς, ἡ δὲ διατήρησις ἐκτὸς μικρῶν βλαβῶν ἀρκούντως καλή. Ἑκάτερον τῶν τεμαχίων εἰκονίζει τρεῖς πυραμίδας, ὑψουμένας ἐπὶ διπλῶν βάσεων. Ἐλλείπει ἀποκρουσθὲν ὁλόκληρον τὸ μέρος τῆς πλακός, τὸ παριστῶν τοὺς κορμοὺς τῶν ἑρμῶν. Χωρίζεται δ' ἐνταῦθα ἑκάστη τῶν πυραμίδων ἀπὸ τῆς συνεχομένης οὐ μόνον διὰ καθέτου γραμμῆς ἐπὶ τῶν βάσεων, ἀλλὰ καὶ διὰ καμπύλης σαφῶς ἐγκεχαραγμένης ἐπὶ τοῦ ὀνομασθέντος ὑποτραχηλίου. Τὸ οὕτω μεταξὺ δύο



*Εἰκὼν 11α. Ἑρμαῖ ἐκ τοῦ ναοῦ τῆς Ἀρτέμιδος.*

καμπυλῶν περιοριζόμενον κωνοειδὲς μέρος μαρμάρου δὲν ἀνήκει εἴς τινα τῶν ἑρμῶν, ἀλλὰ παραμένει χάριν τεχνικῶν λόγων. Τὸ αὐτὸ μέρος τοῦ μαρμάρου ἔχει ἀποκοπῇ ἐπιμελῶς κατὰ τὸ πρὸς τὰ δεξιὰ ἄκρον, ὅπερ σημαίνει, ὅτι ὁ τελευταῖος οὗτος πρὸς τὰ δεξιὰ ἑρμῆς ἀποτελεῖ τὸ ἕτερον τῶν περάτων τῆς ἀρχαίας στήλης. Ἐὰν δὲ δὲν συμβαίνει τὸ αὐτὸ ὡς πρὸς τὸν κατὰ τὸ ἀριστερὸν ἄκρον ἑρμῆν, τοῦτο εἶναι ἔνδειξις, ὅτι δὲν ἔχομεν κατ' αὐτὸν τὸ ἕτερον πέρας, ἀλλ' ὅτι πρέπει νὰ προστεθῇ καὶ ἄλλος. Τούτου ἕνεκα καί, ὡς ἐννοεῖται, διὰ τὰς αὐτὰς διαστάσεις, ἃς παρουσιάζει τὸ δεύτερον τεμάχιον, φαίνεται ὅτι ταῦτα συνανήκουσιν. Ἀλλὰ καὶ οὕτω δὲν ἀποτελεῖται ὁλόκληρον τὸ ἄνω μέρος τῆς ἀρχαίας στήλης, διότι καὶ τὸ πρὸς τὰ ἀριστερὰ ἄκρον τοῦ β' τεμαχίου δὲν σχηματίζει πέρας. Ἀνάγκη ἄρα προσθήκης καὶ ἄλλων ὁμοίων μερῶν, ὧν ὁ ἀριθμὸς δὲν εἶναι δυνατὸν μετ' ἀσφαλείας νὰ εὑρεθῇ. Ἀλλ' ἐπειδή, ὡς μάλιστα κατωτέρω θὰ δειχθῇ, ἕκαστος ἑρμῆς εἶναι εἰκὼν θεότητος, πιθανὸν εἶναι ὅτι ἐλλείπουσιν ἔτι, ἢ ἓν τεμάχιον ἐκ τριῶν ἑρμῶν, ὥστε ἡ ὅλη στήλη νὰ παριστᾷ τὰς ἐννέα Μούσας[1], ἢ δύο, ὅτε θὰ ἔχωμεν οὕτω τιμωμένους τοὺς δώδεκα θεούς.

Κεφαλαιοῦντες ἤδη τὰς καθ' ἕκαστον περιγραφὰς παρατηροῦμεν ὅτι τὰ μνημεῖα ἡμῶν ἀποτελοῦνται πάντοτε ἐκ τετραπλεύρου ὑψηλοῦ σχετικῶς στύλου, τῆς ὑπεράνω ἰδιαζούσης βάσεως, καὶ τῆς ἐπ' αὐτῆς ὑψουμένης μικρᾶς πυραμίδος. Ἡ ἐργασία τῆς ὀπισθίας πλευρᾶς συνήθως εἶναι ἀμελεστέρα, (ἀριθ. 4, 9, 5, 10, 11) ἐνίοτε ἐπίσης ἐπιμελὴς (ἀριθ. 1, 2, 7, 12) καὶ σπανίως ἐντελῶς τραχεῖα (ἀριθ. 3, 8, 6). Ὅθεν ὡς ἐπὶ τὸ πολὺ αἱ στῆλαι ἐτοποθετοῦντο πρὸ τοίχου. Ὁ στῦλος πολλάκις φέρει ἐπὶ τῆς ἐμπροσθίας πλευρᾶς, διακρινομένης ἀπὸ τῆς συνεχομένης διὰ τὸ κατά τι μεῖζον πλάτος, ἐπιγραφὴν καὶ δὶς κοσμεῖται δι' ἀναγλύφου. Ἡ βάσις ἀποτελεῖται ἐκ μικροῦ τμήματος τοῦ στύλου, ὅπερ πρὸς τὰ κάτω στενοῦται κατὰ καμπύλας ἐπιφανείας. Ἡ πυραμὶς μεταβάλλεται, καθόσον αἱ πλευραὶ αὐτῆς καμπυλοῦνται. Οὕτως ἐκ τῶν διαφόρων τούτων σχημάτων τὸ ἁπλούστατον καὶ ἑπομένως παλαιότατον, ἐξ ὅσων ἔχομεν, εἶναι τὸ τῆς στήλης τοῦ *Διὸς Στορπάω*. Συμπίπτει δὲ ἡ στήλη αὕτη νὰ εἶναι ἡ παλαιοτάτη ἐκ τῶν δι' ἐπιγραφῶν χρονολογουμένων, ἀνήκουσα εἰς τὸν Ε' αἰῶνα. Ἐπὶ τῆς ἀμέσως νεωτέρας στήλης τῶν Νυμφῶν (11) αἱ πυραμίδες καμπυλοῦνται, ἐπὶ δὲ τῆς ἔτι νεωτέρας τοῦ Ἀγαθοῦ Δαίμονος (2) ἐκτὸς τῆς καμπυλώσεως ἔχομεν καὶ τὸν διαπλασιασμὸν τῆς βάσεως. Φανερὸν εἶνε ἄρα, ὅτι αἱ μεταβολαὶ αὗται εὑρέθησαν χάριν μεγαλυτέρας κομψότητος τῆς στήλης. Ἐν τούτοις, ἐπειδὴ οἱ παλαιότεροι τύποι συνηθέστατα διατηροῦνται μέχρις ἐσχάτων παρὰ τοὺς νεωτέρους, δὲν εἶναι παράδοξον, ὅτι ἡ νεωτάτη πασῶν στήλη τοῦ Διὸς πατρῴου (9) διατηρεῖ τὸ παλαιότατον σχῆμα.

Ὡς πρὸς τὴν ὀνομασίαν τῶν στηλῶν παρατηρητέον ὅτι ἤδη οἱ προηγηθέντες ἐρευνηταὶ σχετίσαντες πρὸς τὰς συνήθεις ἑρμαϊκὰς στήλας ὠνόμασαν καὶ τὰς ἐνταῦθα ἐξεταζομένας διὰ τοῦ αὐτοῦ, ὡς ἡμεῖς, ἢ παραπλησίου ὀνόματος[2]. Πραγματικῶς δὲ ἡ ὁμοιότης, μάλιστα νῦν, ὅτε μεγάλως ηὐξήθη ὁ ἀριθμὸς τῶν ἐν λόγῳ μνημείων, ἀποβαίνει φανερά.

Κοινὰ εἰς τὰς στήλας ἑκατέρου εἴδους εἶναι ὁ τετράπλευρος εὐμήκης κορμός, ἡ ἐργασία καὶ τοποθέτησις, τὸ μικρὸν συνήθως μέγεθος, ἡ ἐπὶ μιᾶς πλακὸς παράστασις πλειόνων τὸν ἀριθμὸν στηλῶν καί, ὅπερ σπουδαιότατον, ἡ σημασία. Διότι, ὡς εἶναι βέβαιον, ὅτι αἱ μετὰ κεφαλῆς στῆλαι εἶναι εἰκόνες διαφόρων θεῶν, οὕτω διὰ τῶν ἱκανῶν τὸν ἀριθμὸν ἐπιγραφῶν ἀποβαίνει ἀναμφισβήτητον ὅτι καὶ αἱ μετὰ πυραμίδος θεότητας παριστῶσι. Κατὰ τὰς ἐπιγραφὰς ταύτας τετράκις ὀνομάζεται ἡ θεότης κατ' ὀνομαστικήν· ***Ἀθαναία, Ἄρτεμις, Δαίμων Ἀγαθός, Ἥρως***. Καὶ εἶναι μὲν ἀληθὲς ὅτι ἐνίοτε καὶ ἐπὶ ἀναθημάτων ἀναγράφεται τὸ ὄνομα τῆς θεότητος[3] κατ' ὀνομαστικήν, ἀλλὰ τὸ αὐτὸ ἐνταῦθα οὐδαμῶς ἰσχύει. Δὲν ἔχομεν μόνον πυραμίδας, αἵτινες ἠδύναντο πράγματι νὰ θεωρηθῶσιν ἀναθήματα, ἀλλ' ὁλοκλήρους στήλας, ὧν κύριον μέρος εἶναι ὁ εὐμεγέθης κορμός. Οὗτος χωρίζεται ἐπιμελῶς ἀπὸ τῶν γειτονικῶν, ὅταν πλείονες ὁμοῦ στῆλαι παριστῶνται. Οὐδὲ εἶναί τις ἁπλῆ σύμπτωσις,

[1] Μνείαν τῆς λατρείας τῶν Μουσῶν ἐν Τεγέᾳ ἔχομεν παρὰ Παυσ. Η' 47, 2.

[2] **Hermès à l'arkadienne** ὁ **Mendel**, ἑρμοειδῆ βαίτυλον ὁ Ἀρβανιτόπουλλος.

[3] Ἰδὲ **ΑΕ 1904, 148** καὶ **ΑΕ 1906, 45**[6].

ὅτι ἐπὶ τῆς πλακὸς μετὰ τῆς ἐπιγραφῆς *Νυμφᾶν* εἴδομεν τρεῖς διακεκριμένας στήλας ἀνταποκρινομένας πρὸς τὴν γνωστὴν τριάδα. Μετὰ ταῦτα, καὶ ὅταν ἡ θεότης ἀναγράφεται κατὰ γενικὴν πτῶσιν ἢ δοτικήν, εἶναι ἀνάγκη ἡ μετὰ πυραμίδος στήλη νὰ παριστᾷ τὸν μνημονευόμενον θεὸν (διότι οὐδένα ἄλλον εἶναι δυνατὸν νὰ εἰκονίζῃ) καί, ὅταν οὐδὲν ἀναγράφεται ὄνομα, θὰ παριστᾷ τὴν ἐκ τοῦ τόπου τῆς ἀφιερώσεως γνωστὴν θεότητα.

Ἀλλ' ὅμως παρὰ τὴν μεγάλην ὁμοιότητα προφανὴς εἶναι καὶ ἡ διαφορά. Διὸ πρὸς διάκρισιν προσετέθη τὸ ἐπίθετον, ληφθὲν ἐκ τοῦ ὀνόματος τῆς χώρας, ἐν ᾗ τὸ πρῶτον τοιαῦτα μνημεῖα συνελέχθησαν. ***Ἀρκαδικοὶ ἑρμαῖ*** δὲ μέχρι τῆς εὑρέσεως τῆς κυρίας λέξεως δύνανται, νομίζω, νὰ λέγωνται καὶ αἱ ἐν ἄλλαις τυχὸν χώραις παρατηρηθησόμεναι ὅμοιαι στῆλαι [1].

Οἱ ἀρκαδικοὶ ἑρμαῖ διὰ τὴν μεγάλην πληθύν, τὴν σχετικὴν μικρότητα καὶ τὴν εὔκολον κατασκευήν, βεβαίως ὑπῆρξαν, μάλιστα ἐν Τεγέᾳ, συχνόταται καὶ λαϊκώταται παραστάσεις τῶν θεῶν. Ἐκ τριῶν τεγεατικῶν ἱερῶν προέρχονται τοιαῦται εἰκόνες. Ἓξ ἐκ τοῦ ναοῦ τῆς Ἀρτέμιδος τοὐπὲρ τὰ Δολιανά, τρεῖς ἐκ τοῦ ναοῦ τῶν χθονίων θεῶν παρὰ τὸν Ἅγ. Σώστην καὶ εἷς ἐκ τοῦ τῆς Ἀρτέμιδος τῶν Κορυθέων. Εὐθηνόταται δὲ τῶν εἰκόνων ἦσαν αἱ ἐπὶ μιᾶς πλακὸς πλείονας θεότητας παριστῶσαι. Φαίνεται ὅτι τοιαύτας εἰκόνας προσέφερον τοῖς θεοῖς ἐν τοῖς ἱεροῖς αὐτῶν οἱ πτωχότεροι ἢ πάντες, κατὰ τὴν ἐν τῇ οἰκίᾳ λατρείαν. Πρὸς τὴν λατρείαν ταύτην φαίνεταί μοι ὄχι ἄσχετον ὅτι τέσσαρες ἐκ τῶν ὀνομαζομένων θεῶν, Ζεὺς Πάσιος, Ζεὺς Πατρῷος, Δαίμων Ἀγαθὸς καὶ ὁ τούτῳ προσόμοιος Ἀγαθὸς Θεός, εἶναι ἐκ τῶν συνήθως ἐν τῇ οἰκογενείᾳ λατρευομένων [2].

[1] Ἡ ὀνομασία ***Ἀρκαδικοὶ ὀβελίσκοι*** θὰ ἦτο περιγραφικωτέρα, ἀλλὰ μειονεκτεῖ κατὰ τοῦτο, ὅτι διὰ τοῦ ὀβελίσκου δὲν δηλοῦται εἰκὼν θεοῦ ἢ ἀνθρώπου, ὡς διὰ τοῦ ἑρμοῦ.

[2] Ἰδὲ π.χ. τοὺς ἐν ταῖς οἰκίαις τῆς Θήρας (IG XII, 1361, 1359, 1366, 1377) λατρευομένους θεοὺς καὶ πρβ. Thera III, 173-175.

Ἐπίσης συχνοὶ καὶ δημοτικοὶ φαίνονται, μάλιστα ἐν Τεγέᾳ, οἱ συνήθεις ἑρμαῖ. Ὁ ἀριθμὸς τῶν μέχρι τοῦδε συλλεχθέντων ἐκ τῆς πόλεως ταύτης εἶναι πράγματι σημαντικός [3]. Ἐπίσης χαρακτηριστικὸν εἶναι τὸ σύνηθες μικρὸν μέγεθος καὶ ἡ συνένωσις πλειόνων ἐπὶ τῆς αὐτῆς πλακός. Ἡ ὑπὸ τοῦ Ἀρβανιτοπούλλου δημοσιευθεῖσα στήλη μετὰ τῶν ἓξ ἑρμῶν δὲν εἶναι πλέον μοναδική, διότι δύο νέα παραδείγματα εἰσήχθησαν πρὸ διετίας εἰς τὸ τεγεατικὸν μουσεῖον. Ἐκ τούτων τὸ μὲν εἶναι ἀσήμαντον χειρωνακτικὸν ἔργον, ἄνευ ἐπιγραφῆς μετὰ δύο ἑρμῶν, τὸ δὲ παρέχει ἡμῖν πλείονας εἰδήσεις, διὸ καὶ ἀπεικονίζεται ἐνθάδε **(εἰκ. 12).**




*Εἰκὼν 12. Ἑρμαῖ: Διός, Ποσειδῶνος, Δήμητρος.*

Τὸ πανταχόθεν πλὴν πρὸς τὰ κάτω κολοβωθὲν τεμάχιον μαρμάρου ἐξήχθη ὑπὸ τοῦ ἐπιστάτου Γριμάνη τῷ 1908 ἔκ τινος νεωτέρου τοίχου παρὰ τὴν Π. Ἐπισκοπήν. Ὕψ. σωζ. 0·21, πλάτ. κάτω 0·22. Αἱ πλευραὶ ἑκατέρωθεν ἔχουσιν ἀποκρουσθῆ,

[3] Πολλοὺς ἀριθμεῖ ὁ Ἀρβανιτόπουλλος ἐν τῇ Ἀρχαιολογικῇ Ἐφημερίδι 1906, 35 κέ. καὶ τρεῖς νέους δημοσιεύει. Ἤδη προσετέθησαν καὶ ἄλλοι.

ὥστε ὁ ἀρχικὸς ἀριθμὸς τῶν εἰκονιζομένων ἀγνοεῖται. Πρὸς τὰ ἄνω διακρίνονται ἀσφαλῆ ἴχνη τῶν κεφαλῶν καὶ ἐπὶ τοῦ ἐπιπέδου τῆς πλακὸς δύο χωρίζουσαι τοὺς ἑρμᾶς κάθετοι γραμμαί.

| | | |
|---|---|---|
| Ζεὺς | Ποσει-<br>δὰν | Δαμ[ά-<br>τηρ |

εἶναι τὰ ὀνόματα τῶν ἐπὶ τοῦ τεμαχίου θεῶν, γεγραμμένα διὰ χαρακτήρων περίπου τοῦ Α΄ π. Χρ. αἰῶνος.

Δειχθείσης οὕτω τῆς συχνότητος τῶν ἑρμῶν ἑκατέρου εἴδους, εὔκαιρον φαίνεται νὰ ἐνθυμηθῶμεν, ὅτι ὁ Παυσανίας περιγράφων τὰ κατὰ τὴν ἐν Τεγέᾳ ἀγορὰν ἐπιφέρει μεθ' ἁπλότητος καὶ δυνάμεως λόγου ἀρχαίων χρόνων τὸ γνωστὸν ἐκεῖνο· ***περισσῶς γὰρ δή τι τῷ σχήματι τούτῳ φαίνονταί μοι χαίρειν οἱ Ἀρκάδες*** (Η΄ 48, 6).

Τοῦ χωρίου τούτου τοῦ Παυσανίου ἐμνημόνευσαν καί τινες τῶν ἐρευνητῶν, ὅσοι ἠθέλησαν νὰ ἑρμηνεύσωσί πως ἢ συνάψωσι πρὸς τὴν παράδοσιν τοὺς μετὰ πυραμίδος ἑρμᾶς [1]. Ἀλλ' ἀτόπως. Διότι δὲν εἶναι ὀρθὸν νὰ δεχθῶμεν ὅτι ὁ Παυσανίας ἐξαιρετικῶς ἐν τῷ χωρίῳ τούτῳ ὑπὸ τὸν συνήθη καὶ τυπικὸν ὅρον τοῦ ***τετραγώνου*** ἑρμοῦ ἢ ἀγάλματος, οὗπερ ποιεῖται συχνάκις χρῆσιν ἐννοῶν πάντοτε τὸν γνωστὸν τύπον τῶν ἑρμαϊκῶν στηλῶν (***τέχνης τῆς ἀττικῆς*** Δ΄, 33, 4), ὑπῆγε καὶ τοὺς τόσον ἀλλοκότους ἑρμᾶς μετὰ πυραμίδος. Ἐν Φιγαλείᾳ ἰδὼν ἑρμαϊκὴν στήλην ἐνδεδυμένην δι' ἱματίου (Mantelherme) ἐνόμισεν ἀναγκαῖον νὰ περιγράψῃ ταύτην λεπτομερῶς (Η΄ 39, 6). Ἄλλοτε περιέγραψε τὸν Ἀπόλλωνα Καρινὸν τῶν Μεγάρων ὡς σχῆμα παρεχόμενον πυραμίδος οὐ μεγάλης (Α΄ 44, 2) καὶ ἐν Σικυῶνι ἔκρινεν ἄξιον σημειώσεως, ὅτι ὁ Ζεὺς Μειλίχιος ἦτο ὅμοιος πρὸς πυραμίδα (Β΄ 9, 6). Πῶς λοιπὸν μετὰ ταῦτα ἠδύνατο νὰ παραλείψῃ ἐν Τεγέᾳ τὴν περιγραφὴν τόσον πολλῶν καὶ τόσον περιέργων εἰκόνων, ἐὰν τῷ ὄντι εἶχον ὑποπέσει εἰς τὴν ἀντίληψιν αὐτοῦ;

Ἐπίσης ὑπ' οὐδενὸς ἄλλου παλαιοῦ συγγραφέως περιγράφονται ἢ ἁπλῶς ὑποδηλοῦνται οἱ ἀρκαδικοὶ ἑρμαῖ. Μόνον οἱ ἐπὶ μιᾶς πλακὸς παριστώμενοι συνεχεῖς ἑρμαῖ, ὡς οἱ τῶν Νυμφῶν ἀνωτέρω, φαίνονται κάπως ἀνάλογοι πρὸς τὴν ἐν Κυζίκῳ στήλην τῶν Χαρίτων, ὡς ταύτην περιγράφει τὸ κατωτέρω ἐπίγραμμα τῆς Ἀνθολογίας (VI 342)·

Ἄθρησον Χαρίτων ὑπὸ παστάδι τῇδε **τριήρη**
**στηλίδα** τᾶς πρώτας τοῦθ' ὑπόδειγμα τέχνας
ταύτην γὰρ πρώτην ἐμήσατο Παλλὰς Ἀθήνη,
τάνδε πόλει **στάλαν** ἀντιδιδοῦσα χάριν.
Τοὔνεκεν ὑψίστᾳ Τριτωνίδι νηὸν ἔτευξεν
Κύζικος ἅδ' ἱρᾷ πρῶτον ἐν Ἀσιάδι·
.......

Ἀλλ' ὅμως παρὰ τὴν ἔλλειψιν περιγραφῆς αἱ πολυάριθμοι εἰδήσεις, ἃς ἔχομεν περὶ τῶν ***ἀργῶν λίθων*** ἐν γένει, καὶ πολλὰ σχετικὰ μνημεῖα οὐδεμίαν ἐπιτρέπουσιν ἀμφιβολίαν ἐν τῷ ζητήματι τῆς ἑρμηνείας τῶν ἀρκαδικῶν ἑρμῶν. Οὗτοι ὑπῆρξαν ἀρχικῶς ***ἀργοὶ λίθοι*** προσλαβόντες σὺν τῷ χρόνῳ γεωμετρικὸν σχῆμα.

Τὴν ἑρμηνείαν ταύτην στηρίζει μεγάλως ἡ ἀνωτέρω παρατηρηθεῖσα ὁμοιότης πρὸς τὴν συνήθη ἑρμαϊκὴν στήλην [2]. Διότι, ὡς αὕτη, καθὰ ἤδη βεβαίως ἐδείχθη προκειμένου περὶ τῆς χαρακτηριστικῆς εἰκόνος τοῦ ἑρμοῦ [3], προῆλθεν ἐκ τοῦ ἐπιφανοῦς ἀργοῦ λίθου, τοῦ ὑψουμένου ὑπὲρ τὸν τάφον καὶ τιμωμένου ὡς θεοῦ τοῦ *ἕρματος*, τῶν ἐπὶ τοῦ τάφου δηλ. σεσωρευμένων λίθων, οὕτω καὶ ὁ ἀρκαδικὸς ἑρμῆς εὐχερὲς εἶναι νὰ δειχθῇ ὅτι προῆλθεν ἐξ ἀργοῦ λίθου γεωμετρικῶς μόνον σχηματισθέντος καὶ μετ' οὐδεμιᾶς ἀνθρωποποιήσεως. Γενικῶς οἱ ἀργοὶ λίθοι ἢ παρέμειναν τοιοῦτοι μέχρι ἐσχάτων, ὡς αἱ Χάριτες τοῦ Ὀρχομενοῦ, ὁ Ζεὺς Καππώτας τοῦ Γυθείου καὶ ἄλλοι, ἢ ὑπὸ τὴν ἐπίδρασιν τῆς ἰδέας τοῦ ἀνθρωπισμοῦ ἀνεπτύχθησαν εἰς τὰς ἑρμαϊκὰς στήλας, ἢ ἐξελίχθησαν εἰς γεωμετρικὰ σχήματα.

[1] Ὁ **Foucart** ἐν **352 d**, ὁ **Milchhöfer** ἐν **AM IV 141** καὶ ὁ **Fougères** ἐν **BCH XX 149**.

[2] Ἡ ὁμοιότης αὕτη προφυλάσσει καὶ ἀπὸ τῆς ἐσφαλμένης ἑρμηνείας ὅτι οἱ ἀρκαδικοὶ ἑρμαῖ προῆλθον διὰ σχηματισμοῦ (**Stilisierung**) ἐκ τῆς εἰκόνος τοῦ ἀνθρωπίνου σώματος, ὡς περίπου τοῦτο συμβαίνει ἐνίοτε ἐπὶ τῶν παναρχαίων νησιωτικῶν εἰδωλίων.

[3] Ἐκτὸς τῆς γνωστῆς διατριβῆς τοῦ **L. Curtius (Die Entstehung der antiken Herme)** ἰδὲ καὶ **Pfuhl** ἐν **Arch. Jahrb. 1905, 79** καὶ **M. Nilsson** ἐν **Griech. Festen 388, 6.** Ὅτι πολλὰ σημαίνει ἡ λέξις ***ἕρμα*** ὀρθῶς παρετήρησεν ὁ **Pfuhl**, ἀλλὰ δὲν ἔδειξεν, ἂν πάντα τὰ σημαινόμενα διὰ τοῦ *ἕρματος*, ὡς πᾶς βράχος καὶ αὐτοφυὴς λίθος ἢ πᾶς σωρὸς λίθων, ἦσαν ἱερὰ τοῦ Ἑρμοῦ. Τὸ πιθανώτατον εἶναι ὅτι ὁ Ἑρμῆς ὁρμηθεὶς τὸ πρῶτον ἐκ τῶν τάφων καὶ τοῦ ἐπ' αὐτῶν ἕρματος καὶ συχνότατα οὕτω λατρευόμενος ὑπέταξεν ἄλλας θεότητας ὀλιγώτερον σημαντικὰς καὶ ὁμοίως ἐπὶ ἀργοῦ λίθου ἐδραζομένας. Οὕτως ὁ Ἑρμῆς ἐκλήθη Προπύλαιος, Ἐνόδιος καὶ Ἐπιτέρμιος, δι' ἐπιθέτων δηλ. ἅτινα παλαιότερον ἦσαν ὀνόματα ἰδίων θεοτήτων.

Τοῦ τελευταίου μετασχηματισμοῦ πλεῖστα ἔχομεν παραδείγματα. Γνωστοὶ εἶναι οἱ ἐν τῇ ἀγορᾷ τῶν Φαρῶν 30 ἀργοὶ λίθοι, περὶ ὧν ὁ Παυσανίας λέγει ὅτι ἦσαν τετράγωνοι. Ἀλλ' ἵνα περιορισθῶμεν εἰς τὰ μέχρις ἡμῶν διασωθέντα μνημεῖα, ἀναφέρομεν τὸν κίονα τῆς πύλης τῶν Μυκηνῶν, τοὺς ἐν τῷ ἀνακτόρῳ τῆς Κνωσοῦ καὶ ἐν θαλάμοις τῆς Φυλακωπῆς τετραπλεύρους στύλους [1], τοὺς διδύμους κίονας τοῦ Λυκαίου ἐν Ἀρκαδίᾳ [2], τὴν ἀρχικὴν εἰκόνα τῆς Ἑκάτης ὡς κίονος [3], τὸν κιονοειδῆ Ἀγυιᾶ, ὡς οὗτος εἰκονίζεται ἐπὶ νομισμάτων ἱκανῶν πόλεων, τὸν Τέρποντα τῆς Ἀντιπόλεως [4], τὸν κωνοειδῆ λίθον τῆς Κερκύρας [5], τοὺς τετραγώνους ἢ κυλινδρικοὺς λίθους τῆς Θήρας [6], τὴν πυραμιδοειδῆ καὶ κωνοειδῆ εἰκόνα τῆς Παραλίας Ἀρτέμιδος ἐν Κύπρῳ [7] καὶ ἐν τέλει τὰς πολυαρίθμους εἰκόνας διαφόρων θεῶν ὡς κώνων ἢ πυραμίδων ἐπὶ τῶν νομισμάτων [8]. Τὸ φαινόμενον εἶναι, ὡς καὶ ἡ λατρεία τῶν λίθων ἐν γένει, παγκόσμιον. Οἱ Menhirs λεγόμενοι λίθοι ἐν Γαλλίᾳ δεικνύουσιν ἐνίοτε ἐπεξεργασίαν τινά [9], γνωστοὶ δὲ εἶναι οἱ ὀβελίσκοι ἐν Αἰγύπτῳ, οἵτινες ἀρχικῶς καὶ κυρίως εἰκόνιζον τὸν μέγαν ἡλιακὸν θεὸν Reh [10], καὶ πάμπολλοι εἶναι ἐν ταῖς σημιτικαῖς χώραις οἱ εἰργασμένοι ἱεροὶ λίθοι [11].

Τὰ σχήματα, ἅπερ προσέλαβεν ὁ ἀργὸς λίθος, εἶναι οὕτω τὸ τοῦ κίονος μετὰ παραλλαγῶν, τὸ τοῦ στύλου, τὸ τῆς πυραμίδος καὶ τοῦ κώνου. Εἰς ταῦτα δύναται νὰ προστεθῇ καὶ τὸ τοῦ ὀμφαλοῦ [12].

Ἀλλ' οὐδὲν ἐκ τῶν μνημονευθέντων εἶναι τὸ αὐτὸ ἢ παρεμφερὲς πρὸς τὸ σχῆμα τῶν ἀρκαδικῶν ἑρμῶν. Ἴσως ἤθελέ τις ἐνθυμηθῇ νομίσματα τῶν Μεγάρων, τοῦ Βυζαντίου καὶ τῶν ἐν Ἠπείρῳ πόλεων, τῆς Ἀμβρακίας, τῆς Ἀπολλωνίας καὶ τοῦ Ὠρικοῦ, ὅπου εἰκονίζεται ὁ Ἀπόλλων κατὰ παραπλήσιον τρόπον. Ὅμως ἡ προσεκτικὴ ἐξέτασις τούτων δεικνύει ὅτι ἐπὶ πάντων πρέπει νὰ παραδεχώμεθα, ὅτι παρίσταται ὁ Ἀπόλλων ὡς Ἀγυιεύς, ὡς κίων δηλ. εἰς ὀξὺ λήγων [13]. Δὲν εἶναι ἄρα *ὀβελίσκος* τὸ ἐπὶ τῶν νομισμάτων εἰκονιζόμενον, ὡς γνωρίζομεν αὐτὸν ἐξ Αἰγύπτου, ὅπου εἶναι κατὰ κανόνα τετράπλευρος καὶ λήγει ἄνω εἰς πυραμίδα. Ἀλλ' ἂν οὕτω δὲν ἔχομεν ἄλλοθεν ἐξ ἑλληνικῶν μνημείων ὅμοια σχήματα ἀνεικονίστων θεῶν πρὸς τὸ τοῦ αἰγυπτιακοῦ ὀβελίσκου, ὅπερ εἶναι φανερῶς ὅμοιον πρὸς τὸ τοῦ ἀρκαδικοῦ ἑρμοῦ, οὐδαμῶς συνάγεται ἐκ τούτου ὅτι οἱ ὀβελισκοειδεῖς ἑρμαῖ τῆς Ἀρκαδίας εἰσήχθησαν ἐξ Αἰγύπτου. Οὐδὲ δύναταί τις νὰ εἴπῃ ὅτι ἐν ταῖς ὁμοίαις φοινικικαῖς στήλαις τοῦ ἐν Κύπρῳ Κιτίου [14] ἔχομεν δείγματα τοῦ παλαιοῦ συνδέσμου τῶν δύο χωρῶν. Διότι ἡ μὲν ἑρμηνεία αὕτη τῆς ἐκ τῆς Ἀνατολῆς εἰσαγωγῆς τοῦ τύπου ἔχει ἀνάγκην μειζόνων ἀποδείξεων, φυσικώτερον δὲ εἶναι νὰ δεχθῶμεν ὅτι ἐν τῇ Ἑλλάδι αὐτῇ, ὅπου συχνοτάτη ὑπῆρξεν ἡ λατρεία τῶν ἀργῶν λίθων ποικίλη δὲ ἡ διαμόρφωσις αὐτῶν, ὁ τύπος τοῦ ἀρκαδικοῦ ἑρμοῦ ἀνεπτύχθη ἄνευ οἱασδήποτε ξένης ἐπιδράσεως.

Περὶ τῶν ἀργῶν λίθων, τῶν ἀρχεγόνων τούτων

[1] Τὴν λατρείαν τοῦ κίονος, στύλου καὶ ὀβελίσκου κατὰ τὴν κρητικὴν καὶ μυκηναϊκὴν ἐποχὴν ἀπέδειξεν ὁ **Evans** ἐν τῇ γνωστῇ αὐτοῦ διατριβῇ, **Pillar and tree cult**, τῇ τὸ πρῶτον ἐν **JHS 1901, 99-153** δημοσιευθείσῃ.

[2] **JHS 1901, 127.** Περὶ τῆς ἀνευρέσεως λειψάνων ἐκ τῶν κιόνων τούτων ἴδε Κουρουνιώτην ἐν **ΑΕ 1904, 171** κέ..

[3] **Arch. Jahr. 1908, 21** κέ. **(Petersen).**

[4] **IG I 551.**

[5] **AM XIX 341** κέ. **(Six). IG IX 704.**

[6] **Gött. Gel. Anz. 1910, 544 (Studniczka).**

[7] **BCH XX 339 (Perdrizet), Cesnola, Salaminia,** σελ, **96,** εἰκ. **105.**

[8] **De Visser. De deorum imaginibus ad speciem humanam non referentibus,** σελ. **36-71.**

[9] **A. Bertrand, La Gaule avant les Gaulois,** σελ. **193. Hörnes, Urgeschichte des Menschen 86** κέ. **(Taf. 2).**

[10] **Perrot-Chipiez, Histoire de l'art, I 621** καὶ **E. Meyer Geschichte Aegyptens 70-71.**

[11] **Perrot-Chipiez, IV 384, 389** καὶ **III 60, 265, 273** καὶ ἀλλαχοῦ.

[12] Ὁμοίαν ἐξέλιξιν πρὸς τὴν τῶν ἀργῶν λίθων τῶν σημαινόντων θεότητας δεικνύουσι, νομίζω, καὶ οἱ ἐπιτάφιοι ἀργοὶ λίθοι, οἱ σημαίνοντες τὸ ἕδος τοῦ τιμωμένου νεκροῦ. Οὕτως ἐκτὸς τῆς ἐπιταφίου στήλης ἀνεπτύχθη οὗτος εἰς κίονα, κῶνον (ὡς ἐν Βοιωτίᾳ), κύλινδρον (ὡς ἐν Κάσῳ) καὶ ὀμφαλοειδὲς σχῆμα. Ὅτι ὁ ὀμφαλὸς τῶν Δελφῶν τοιαύτην ἔσχεν ἀρχὴν ὑπέδειξεν ὁ **Karo (Daremberg-Saglio** ἐν λ. **Omphalos).** Δεν εἶναι δὲ ὀρθὸν νὰ δεχώμεθα μετὰ τοῦ **B. Schröder** ὅτι τὸ θολοειδὲς σχῆμα τοῦ τύμβου ὑπηγόρευσε τὰ ἀνωτέρω σχήματα τῶν λίθων **(Studien zu den Grabdenkmälern der römischen Kaiserzeit).** Ἡ παρατήρησις τοῦ **Pfuhl (Arch. Jahr. 1905, 88-91)** ὅτι ὁ ὑπὸ τοῦ **Körte** καὶ ἄλλων ἐν **Μ. Ἀσίᾳ** καταδειχθεὶς ἐπὶ τῶν τάφων φαλλὸς εἶναι ἄλλη τις ἀρχή, φαίνεται ὀρθή, ἐὰν περιορισθῇ εἰς τὰ ὄντως φαλλοειδῆ σχήματα, οἷα συχνάκις προέρχονται ἐκ **Μ. Ἀσίας.**

[13] Ὅτι κίων εἰκονίζεται ἐπὶ τῶν νομισμάτων δεικνύεται ἐκ τούτου πρὸ πάντων, ὅτι ἐπὶ τῶν νεωτέρων τύπων ἡ βάσις τοῦ κίονος στενοῦται καὶ στρογγυλοῦται ᾠοειδῶς, ὅπως ἡ ἐπὶ τῆς τριπλεύρου βάσεως τοῦ Βατικανοῦ εἰκονιζομένη Ἄρτεμις **(Bötticher, Baumkultus Fig. 10 s. 77).** Ἡ Ἄρτεμις αὕτη ὁμοιάζει πρὸς τὸν Ἀγυιᾶ τῶν νομισμάτων καὶ κατὰ τὸ κωδωνοειδὲς κάλυμμα.

[14] **Corpus Inscr. Semiticarum, Pars I, Pl. VIII, fig. 42, 44, 192.**

εἰκόνων τῶν θεῶν καὶ δαιμόνων, καὶ τῶν σχημάτων αὐτῶν ἱκανὰ οὕτω ἐδιδάχθημεν ἐκ τῆς ἐξετάσεως τῶν ἀρκαδικῶν ἑρμῶν. Παρουσιάζουσι νέον σχῆμα, ἀποτελοῦσι τὴν πολυμελεστάτην σειράν, ἐξ ὅσων ἔχομεν, καὶ διὰ τὸ κῦρος τῶν ἐπιγραφῶν εἶναι τὰ αὐθεντικώτατα μνημεῖα τοῦ εἴδους. Ὅτι τοιαῦτα παμπαλαίας ἀρχῆς ἔδη τῶν θεῶν διετηρήθησαν ἐν τοσαύτῃ τιμῇ ἐν Ἀρκαδίᾳ, οὐδαμῶς εἶναι παράδοξον. Τοσούτῳ μᾶλλον, ὅσῳ συντηρητικώτεροι τῶν ἄλλων Ἑλλήνων, καθ' ἃς ἔχομεν εἰδήσεις, ὑπῆρξαν ἐν τῇ λατρείᾳ τῶν θεῶν οἱ Ἀρκάδες. Δικαίως δὲ ὁ Πολύβιος ἐκ τῶν ἀρετῶν τῶν ὁμοφύλων ἐξῇρε διὰ μεγάλων τὴν εἰς τὸ θεῖον εὐσέβειαν (Δ' 20).

Ἐν Σπάρτῃ, τῇ 25ῃ φεβρουαρίου 1911.

**Κωνσταντῖνος Ἀ. Ῥωμαῖος.**

---

# Δελφικὴ λατύπη

(συνέχεια· ὅρα ΑΕ 1909, 263 καὶ ΑΕ 1910, 171)

ὑπὸ

Ἀντωνίου Δ. Κεραμοπούλου.

### 3. Ἡ στοὰ τῶν Ἀθηναίων.

Ὁ Παυσανίας [1] μνημονεύει τοῦ κτίσματος τούτου διὰ τῶν ἑξῆς λόγων: «Ὠκοδόμησαν δὲ καὶ Ἀθηναῖοι στοὰν ἀπὸ χρημάτων, ἃ ἐν τῷ πολέμῳ σφίσιν ἐγένετο ἀπό τε Πελοποννησίων καὶ ὅσοι Πελοποννησίοις ἦσαν τοῦ Ἑλληνικοῦ σύμμαχοι. Ἀνάκειται δὲ καὶ πλοίων τὰ ἄκρα κοσμήματα καὶ ἀσπίδες χαλκαῖ· ***τὸ δὲ ἐπίγραμμα τὸ ἐπ' αὐτοῖς ἀριθμεῖ τὰς πόλεις***, ἀφ' ὧν οἱ Ἀθηναῖοι τὰ ἀκροθίνια ἀπέστειλαν, τήν τε Ἠλείων καὶ Λακεδαιμονίων, Σικυῶνά τε καὶ Μέγαρα, καὶ Πελληνέας Ἀχαιῶν, Ἀμβρακίαν τε καὶ Λευκάδα καὶ αὐτὴν Κόρινθον· γενέσθαι δὲ ἀπὸ τῶν ναυμαχιῶν τούτων καὶ θυσίαν τῷ Θησεῖ καὶ τῷ Ποσειδῶνι ἐπὶ τῷ ὀνομαζομένῳ Ῥίῳ. ***Καί μοι φαίνεται τὸ ἐπίγραμμα ἐς Φορμίωνα τὸν Ἀσωπίχου ἔχειν*** καὶ ἐς τοῦ Φορμίωνος τὰ ἔργα». Εἶνε δὲ γνωστόν, ὅτι ἡ ἐπὶ τοῦ στυλοβάτου τῆς στοᾶς κειμένη ἐπιγραφή, ἀποκαλυφθεῖσα καὶ γνωστὴ ἤδη πρὸ πολλοῦ,

**Ἀθεναῖοι ἀνέθεσαν τὲν στοὰν κ[α]ὶ τὰ ῾όπλ[α] κ]αὶ τἀκροτέρια ῾ελόντες** ΤΟΝΠΟ[λεμι]ΟΝ

οὔτε τὸν πόλεμον ὁρίζει συμφώνως πρὸς τοὺς λόγους τοῦ Παυσανίου, οὔτε τὰς πόλεις ἀριθμεῖ, ἀφ' ὧν ἀπέστειλαν οἱ Ἀθηναῖοι τὰ ἀκροθίνια, οὔτε ***ἐπ' αὐτοῖς*** κεῖται, οὔτε κατ' ἄλλον τινὰ τρόπον δικαιολογεῖ τὴν εἰκασίαν τοῦ Παυσανίου, ὅτι ἀναφέρεται εἰς τὸν Φορμίωνα καὶ τὰς νίκας αὐτοῦ (429 π. Χρ.) [2]. Ὅθεν κοινῶς ἐγένετο ἤδη δεκτόν, ὅτι τὰ ὑπὸ τοῦ Παυσανίου λεγόμενα ἐξῄχθησαν οὐχὶ ἐκ τῆς ἐπιγραφῆς τοῦ στυλοβάτου τῆς στοᾶς, ἀλλ' ἐξ ἄλλων ἐπιγραφῶν παρακειμένων τοῖς ἀναθήμασιν, ἱδρυμένοις ἐν μέρει τοὐλάχιστον ἐπὶ βάθρου ἔνδον κατὰ μῆκος τῆς στοᾶς [3].

[1] *Παυσ.* Ι' 11, 6.

[2] *Θουκ.* Β' 83 κέ., *Διοδ.* ΙΒ' 48.

[3] Εἰς τὸ βάθρον τοῦτο ἐνόμισα ὅτι ἠδύναντο νὰ ἀναχθῶσιν οἱ μέλανες λίθοι οἱ κείμενοι ὄπισθεν τοῦ θησαυροῦ τῶν Ἀθηναίων καὶ νοτιώτερον αὐτοῦ μέχρι τοῦ περιβόλου τοῦ τεμένους. Ἀλλὰ καὶ πλάτος μεῖζον τοῦ βάθρου ἔχουσι καὶ ἄλλως εἶνε δύσκολον νὰ συντεθῶσιν εἰς ἓν ἐπίμηκες ὅλον. Τοὺς λίθους τούτους ἐπίστευσεν ὁ **Pomtow** (***Berl. Phil. Woch.*** **1909,190**), ὅτι ἠδύνατο νὰ ἀποδώσῃ μετὰ βεβαιότητος εἰς τὸν χαλκοῦν τράγον τῶν Κλεωναίων (***Παυσ.*** **Ι' 11,5**). Ἀλλὰ πρῶτον οἱ λίθοι οὗτοι δὲν ἐβάσταζον χαλκοῦν τι ἀνάθημα, δεύτερον δὲν ἦσαν πάλαι ἐκτεθειμένοι εἰς τὸ ὕπαιθρον ὡς ἦτο ὁ τράγος, τρίτον αἱ ἐπ' αὐτῶν ὀπαὶ εἶναι πολλῷ πλείονες ἢ ὅσας θ' ἀπῄτει ὁ τετράπους τράγος, καὶ ἂν ἀκόμη ἡ οὐρὰ αὐτοῦ καί τι ὑποστήριγμα ἠρείδετο ἐπὶ τοῦ βάθρου. Ἐντὸς τῶν λίθων τούτων δὲν ἐτέθη ποτὲ μέταλλον, ἀλλὰ ξύλον· διὰ τοῦτο ἠθέλησα νὰ ἀποδώσω τοὺς λίθους εἰς τὴν στοάν. Ἂν ἡ

Ἂν ὁ Παυσανίας εἶδε καὶ τὴν ἐπὶ τοῦ στυλοβάτου ἐπιγραφήν, δὲν γίνεται σαφῶς φανερὸν ἐκ τῶν λόγων αὐτοῦ. Ῥητῶς ἀναφέρει τὸ ***ἐπὶ τοῖς ἀναθήμασιν*** ἐπίγραμμα τὸ ἀριθμοῦν τὰς ἡττημένας πόλεις. Ὅταν ὅμως λέγῃ, ὅτι ᾠκοδόμησαν οἱ Ἀθηναῖοι τὴν στοὰν ἀπὸ χρημάτων ληφθέντων ἀπὸ τῶν Πελοποννησίων καὶ τῶν τούτοις συμμαχούντων, γίνεται ἴσως πιθανόν, ὅτι συμμιγνύει τοὺς λόγους τῆς ἐπιγραφῆς «Ἀθηναῖοι ἀνέθεσαν τὴν στοὰν» κλ. μετὰ τοῦ περιεχομένου τοῦ ἐπὶ τοῖς ἀναθήμασιν ἐπιγράμματος· πάντως δὲ νομίζει, ὅτι ἡ στοὰ ἱδρύθη κατὰ τὸν Πελοποννησιακὸν πόλεμον. Τὸν χρόνον τοῦτον τῆς κτίσεως τῆς στοᾶς οὐδεὶς τῶν νεωτέρων ἐρευνητῶν ἀπεδέξατο, ἀλλὰ πάντες [1] ἀνάγουσιν αὐτὴν εἰς παλαιοτέρους χρόνους, καὶ δὴ ὁ μὲν Houssoullier εἰς τοὺς ἀμέσως μετὰ τὸ 460 χρόνους, μετὰ τὴν κατὰ τῶν Αἰγινητῶν δηλ. καὶ τῶν συμμάχων αὐτῶν νίκην τῶν Ἀθηναίων [2], ὁ Röhl εἰς τοὺς χρόνους τῆς τυραννίδος τοῦ Πεισιστράτου, ὅτε κατελήφθη τὸ Σίγειον [3], ὁ Köhler εἰς τοὺς ἀμέσως μετὰ τὴν ἐν Μαραθῶνι μάχην χρόνους, ὅτε οἱ Ἀθηναῖοι ἐνίκησαν τοὺς Αἰγινήτας [4], ὁ δὲ Wilamowitz, διαφερόμενος πρὸς τὸν Köhler, καὶ ὁ Homolle καὶ ὁ Furtwängler εἰς τὴν παρὰ τὸν Εὔριπον νίκην τοῦ 504 ἢ 506 π. Χρ.. Κατὰ πάσας ταύτας τὰς χρονολογίας ἀναφέρονται ναυτικὰ γεγονότα πολεμικά, ὡς ἀπαιτεῖ ἡ ἐπιγραφή, λέγουσα περὶ ἀκρωτηρίων (ἀκροστολίων) πλοίων. Ὁ Pomtow ὅμως, μὴ δεχόμενος, ὅτι ἡ στοὰ καὶ τὰ ἐν αὐτῇ ὅπλα καὶ ἀκρωτήρια ἠδύναντο νὰ εἶνε πρὸ τῶν μέσων τοῦ Ε΄ π. Χρ. αἰῶνος οἱονεὶ τρόπαιον τῶν Ἀθηναίων ἀφ᾿ Ἑλλήνων, νομίζει, ὅτι πρέπει νὰ ἀποδοθῇ ἡ ἵδρυσις αὐτῆς καὶ ἡ ἀνάθεσις τῶν ὅπλων καὶ ἀκρωτηρίων εἰς τὴν ἐν Σαλαμῖνι ναυμαχίαν. Παρατηρεῖ δὲ ὀρθῶς, ὅτι πολλαὶ ἑλληνίδες πόλεις, μετασχοῦσαι τῆς ἐν Πλαταιαῖς μάχης ἢ τῆς ἐν Σαλαμῖνι καὶ τῆς ἐπ᾿ Ἀρτεμισίῳ ναυμαχίας, δὲν ἠρκέσθησαν εἰς τὰ κοινά, τὰ πανελλήνια ἐν Δελφοῖς ἀναθήματα, ἀλλ᾿ ἀνέθεσαν αὐτόθι καὶ ἕτερα ἑκάστη ἴδια· ὅθεν συμπεραίνει, ὅτι δὲν εἶνε πιστευτόν, ὅτι μόνοι οἱ Ἀθηναῖοι δὲν θὰ ἀπηθανάτιζον τὴν ἐν Σαλαμῖνι ἔνδοξον συμμετοχὴν αὐτῶν, ἐν ᾧ εἰς τοὺς λόγους τοῦ Ἀπόλλωνος, συμβουλεύσαντος αὐτοῖς τὰ ξύλινα τείχη, ὤφειλον τὴν νίκην καὶ τὴν δόξαν.

Ἀλλ᾿ ἂν περὶ τοῦ χρόνου τῆς ἱδρύσεως τῆς στοᾶς ἐπικρατῇ τοιαύτη τις καὶ τοσαύτη διαφωνία, περὶ τῆς ἀναγνώσεως ὅμως τῆς ἐπιγραφῆς οὐδεμία μέχρι τοῦδε ἐγένετο ἀμφισβήτησις: πάντες δηλ. συμφωνοῦσιν, ὅτι αἱ δύο τελευταῖαι λέξεις αὐτῆς πρέπει νὰ ἀναγνωσθῶσι *τὸν πο*[*λεμί*]*ον* (=*τῶν πολεμίων*). Τὴν συμφωνίαν ταύτην θὰ διαταράξω ἐν τοῖς ἑπομένοις.

Δὲν θὰ ὑπῆρχεν οὐδεμία ἀνωμαλία ἐν τῇ ἐπιγραφῇ, ἂν αὕτη περιωρίζετο εἰς τὰς λέξεις «***Ἀθηναῖοι ἀνέθ. τ. στ. κ. τ. ὁπλ. καὶ τἀκρωτέρια***»· αἱ λέξεις ***τὲν στοὰν καὶ τὰ ὅπλα καὶ τἀκρωτέρια*** εἶνε λογικὰ καὶ συντακτικὰ συμπληρώματα τοῦ ῥήματος ***ἀνέθεσαν***· ἐπίσης ὁμαλῶς θὰ εἶχον τὰ πράγματα, ἂν εἰς τὰς λέξεις ταύτας προσετίθετο: «***ἀπὸ*** *τὸν πολεμίον* [5]». Ἡ ἔλλειψις ὅμως τῆς ***ἀπὸ*** καὶ ἡ προσθήκη τῆς λέξεως *ἑλόντες* μεταβάλλει τὴν κατάστασιν· διότι ὡς συμπληρώματα ταύτης λογικῶς μὲν μόνον αἱ λέξεις ***τὰ ὅπλα καὶ τἀκροτέρια*** εἶνε, γραμματικῶς ὅμως δὲν χωρίζονται ἀπὸ τούτων αἱ λέξεις ***τὲν στοάν***. Ἀλλ᾿ ἡ στοὰ δὲν ἦτο τῶν πολεμίων, ὡς εἶνε τὰ ὅπλα καὶ τἀκρωτήρια, οὐδὲ τῶν πολεμίων οὖσαν ἔλαβον (εἷλον)

γνώμη αὕτη ἀτυχῇ, τότε πρέπει νὰ ἀναζητήσωμεν ξόανα ἢ χρυσελεφάντινα ἀγάλματα (πρβ. τὰς ἐξ ὁμοίου μέλανος λίθου βάσεις τοῦ ἐν Δήλῳ ναοῦ «ἐν ᾧ τὰ ἑπτὰ» ἀγάλματα) ἀνακείμενα ἐν Δελφοῖς ἢ ἄλλα ἐξ εὐθρύπτου ὕλης καὶ δὴ καὶ ξύλου πεποιημένα ἀναθήματα πολύτιμα, ὥστε νὰ εἶναι ἱδρυμένα ἐπὶ τῆς διὰ τῶν λίθων τούτων σχηματιζομένης μεγαλοπρεποῦς βάσεως καὶ ὑπὸ στέγην. Μέχρι τοῦδε οὔτε τὰ ἀναθήματα οὔτε τὸν ἐστεγασμένον χῶρον τῆς βάσεως ταύτης εὗρον.— Εἰς τὴν ὄψιν τοῦ πολυγωνικοῦ τοίχου καὶ δὴ τοῦ μέρους αὐτοῦ, ὃ ἔκειτό ποτε ὑπὸ τὴν στέγην τῆς στοᾶς, ὑπάρχουσιν 7 ὀπαί, ὧν τινες διατηροῦσι καὶ λείψανα μετάλλων. Ἐσκέφθην, ὅτι αὗται ἴσως εἶχον χρησιμεύσει πρὸς ἀνάρτησιν ἀσπίδων χαλκῶν. Ἀλλὰ δὲν εἶνε ἀποδεδειγμένον ἂν εἶναι πᾶσαι ἀρχαῖαι· πάντως δέ, καὶ ἂν εἶναι ἀρχαῖαι, πρέπει ἐπὶ Παυσανίου τινὰ τοὐλάχιστον τῶν ἀνηρτημένων σκύλων νὰ εἶχον ἐκλίπει ἤδη· διότι περὶ τὰς ὀπὰς εἶνε ἐπιγραφαὶ νεώτεραι μὲν τῶν Μηδικῶν, ἀλλὰ παλαιότεραι τοῦ Παυσανίου.

[1] Πρβ. Haussoullier *BGH* 1881, 205 ἑξ.. Koldewey *AM* 1884, 264 κέ. καὶ 1889, 205 κέ.. Pomtow *Beitr. z. Topogr. v. Delphi* 42 κέ. καὶ *Archäol. Anzeiger* 1902, 85. Roehl. *IGA* σ. 169 ἀριθ. 3a. Köhler, *Rhein. Mus.* 1891, 1 κέ.. Wilamowitz *Aristoteles und Athen* II, 287. Furtwängler, *Sitz.-Ber. d. Münch. Akad.* 1901, 391 κέ.. Homolle *BCH* 1896, 615 κέ.. Larfeld, *Griech. Epigr.* II 419. Michel, *Rec.* 1116. κἑ..

[2] *Θουκ.* Α΄ 105, *Διοδ.* Α΄ 78, *Λυσ. ἐπιταφ.* 48, CIA I 133.

[3] *Ἡροδ.* Ε΄ 94.

[4] *Ἡροδ.* Ϝ΄ 89, 92.

[5] Ὁ Παυσανίας, εἰς οὗ τὴν γλῶσσαν ἐπέδρασαν βεβαίως πολὺ αἱ ὑπ᾿ αὐτοῦ ἀναγνωσθεῖσαι ἐπιγραφαί, λέγει Ι΄ 9, 5: «*Τεγεατῶν ἀναθήματα* ***ἀπ᾿*** *Ἀθηναίων*», Ι΄ 10, 1: «***ἀπὸ*** *δεκάτης τοῦ Μαραθω-*

αὐτὴν οἱ Ἀθηναῖοι. Ἐκτίσθη πιθανῶς ἐκ χρημάτων προερχομένων ἐκ πολεμικῶν λαφύρων, ἀλλὰ δὲν ἐλήφθη αὐτὴ αὕτη ἀπὸ τῶν ἐχθρῶν, ὡς θέλει ἡ ἀναθηματικὴ ἐπιγραφή. Ὅθεν νομίζω, ὅτι πρέπει νὰ ἀναγνώσωμεν ἄλλως τὴν ἐπιγραφὴν ταύτην: Ἀντὶ *τῶν πο[λεμί]ων* δηλ. νομίζω, ὅτι πρέπει νὰ ἀναγνώσωμεν *τὸν πο[λέμι]ον*. Τότε τὸ μὲν ῥῆμα ***ἀνέθεσαν*** θὰ ἔχῃ ὡς ἀντικείμενα αὐτοῦ λογικά τε καὶ γραμματικὰ τὰς λέξεις ***τὲν στοὰν καὶ τὰ ὅπλα καὶ τἀκροτέρια,*** τὸ δὲ *ἑλόντες* θὰ ἔχῃ ὡς ἀντικείμενον αὐτοῦ ἐπίσης λογικόν τε καὶ γραμματικὸν *τὸν πολέμιον*. Τὸ *ἑλόντες* δηλοῖ ἐνταῦθα ***νικήσαντες***[1]. Ὥστε ἡ ἐπιγραφὴ κατὰ ταῦτα θὰ σημαίνῃ «Ἀθηναῖοι ἀνέθεσαν τὴν στοὰν καὶ τὰ ὅπλα καὶ τἀκρωτήρια, νικήσαντες τὸν πολέμιον».

Τίς εἶνε ὁ οὕτως ἀορίστως ὀνομαζόμενος *πολέμιος;*

Ἂν μετατεθῶμεν εἰς τοὺς παλαιοὺς χρόνους τῆς ἱδρύσεως τοῦ μνημείου τούτου, θὰ εὕρωμεν, ὅτι μόνον ὁ βάρβαρος Μῆδος ἠδύνατο νὰ νοηθῇ διὰ τοιούτου ἄχρου ὁρισμοῦ. Ὅπως ὑπὸ τῶν συγγραφέων λέγεται ἁπλῶς ὁ Μῆδος, ὁ Πέρσης, ὁ βάρβαρος, οὕτως ἐνταῦθα λέγεται ὁ ***πολέμιος***, ὁ κατ' ἐξοχὴν τότε πολέμιος. Ἐπειδὴ δὲ ἡ μεγίστη ναυτικὴ δόξα τῶν Ἀθηναίων κατὰ τὰ Μηδικὰ ἦτο ἡ ἐν Σαλαμῖνι ναυμαχία, ἕπεται, ὅτι ἡ στοὰ καὶ τὰ πρῶτα ἐν αὐτῇ ἐκτεθέντα ναυτικὰ τρόπαια προέρχονται ἐκ τῆς ἐν Σαλαμῖνι ναυμαχίας. Ὁ Ἡρόδοτος[2] λέγει ὅτι οἱ Ἕλληνες μετὰ τὴν ἐν Δελφοῖς ἵδρυσιν τοῦ δωδεκαπήχεως Ἀπόλλωνος[3] ἀπὸ τῶν ἀκροθινίων τῆς Σαλαμῖνι ναυμαχίας, ἐπηρώτων τὸν θεὸν κοινῇ, ἂν εἶχε λάβει πλήρη καὶ ἀρεστὰ τὰ ἀκροθίνια· ὁ δὲ ἀπήντησεν, ὅτι ***παρὰ μὲν τῶν ἄλλων εἶχε λάβει***, παρὰ τῶν Αἰγινητῶν ὅμως ὄχι, ἐζήτει δὲ παρὰ τούτων τὰ ἀριστεῖα τῆς μάχης· οἱ δὲ Αἰγινῆται ἀνέθεσαν τότε ἰδίᾳ τρεῖς χρυσοῦς ἀστέρας ἐπὶ χαλκοῦ ἱστοῦ. Ἐπειδὴ οἱ Αἰγινῆται συνυπολογίζονται βεβαίως καὶ εἰς τοὺς Ἕλληνας τοὺς κοινῇ ἀναθέντας τὸν δωδεκάπηχυν Ἀπόλλωνα, συνάγεται ἐντεῦθεν, ὅτι οἱ Αἰγινῆται διττῶς εὐηρέστησαν τῷ θεῷ μετὰ τὴν ναυμαχίαν, τὸ μὲν διὰ τοῦ κοινοῦ τὸ δὲ διὰ τοῦ ἰδίου ἀναθήματος ὡς ἀριστεύσαντες. Ἂν δὲ εἶνε ἀληθῆ τὰ ὑπὸ τοῦ Παυσανίου[4] λεγόμενα, ὅτι καὶ ὁ Θεμιστοκλῆς ἠθέλησεν ἰδίᾳ[5] νὰ προσενέγκῃ τῷ θεῷ λάφυρα ἀπὸ τῆς ναυμαχίας ταύτης, εἶνε δυνατὸν νὰ δεχθῶμεν, ὅτι οἱ Ἀθηναῖοι οἱ τοσοῦτον πρὸς τὴν ἔπαρσιν τοῦ Θεμιστοκλέους ζηλότυποι[6], δὲν θὰ ἔσπευδον νὰ ἱδρύσωσι κοινὸν ἀθηναϊκὸν ἀνάθημα, καὶ ἂν ἀκόμη δὲν εἶχον ἱδρύσει αὐτὸ ἤδη πρὸ τῆς ἰδιωτικῆς καὶ ἀποτυχούσης ἀποπείρας τοῦ ναυμάχου στρατηγοῦ αὐτῶν; Ὁ Παυσανίας (ἔ. ἄ.) λέγων «θαῦμα οὖν ἐποιούμεθα, εἰ ἀπηξίωσεν (ὁ θεὸς) ***ἐκεῖνον μόνον*** (τοῦ Θεμιστοκλέους) μὴ προσέσθαι τὰ ἀπὸ τῶν Μήδων κτλ.» ὑποδηλοῖ, ὅτι πλὴν τῶν κοινῶν τῶν Πανελλήνων ἀναθημάτων ἀπὸ τῶν Μήδων ἦσαν καὶ ἄλλα μερικώτερα τῶν πόλεων ἑκάστων, ἐπίσης ἀπὸ τῶν Μήδων προερχόμενα· καὶ ἀναφέρει δὲ[7] τοιαῦτα. Τοιοῦτον λοιπὸν θὰ ἦτο καὶ ἡ στοὰ τῶν Ἀθηναίων, ὁ δὲ πύθιος Ἀπόλλων, διατάσσων τῷ Θεμιστοκλεῖ

*νίου ἔργου τεθῆναι τὰς εἰκόνας»*, Ι' 10, 4 *«ἐποίησαν σφᾶς . . .* ***ἀπὸ*** *τῆς νίκης, ἥντινα . . . ἐνίκησαν·* ***ἀπὸ*** *δὲ τοῦ αὐτοῦ ἔργου . . . τοὺς Ἐπιγόνους . . . ἀνέθεσαν»*, Ι' 11, 5 *«οἱ δὲ θησαυροὶ Θηβαίων* ***ἀπὸ*** *ἔργου τῶν ἐς πόλεμον . . . ἐπεὶ Θηβαίοις γε* ***ἀπὸ*** *ἔργου τοῦ ἐν Λεύκτροις καὶ Ἀθηναίοις* ***ἀπὸ*** *τῶν ἐς Μαραθῶνα ἀποβάντων ὁμοῦ Δάτιδί εἰσιν οἱ θησαυροί»*· (πρβ. τὴν ἐπιγραφὴν τῶν ἀκροθινίων τοῦ Μαραθῶνος *«Ἀθεναῖοι τ[õ]ι Ἀπόλλον[ι* ***ἀπὸ*** *Μέδ]ον ἀκ[ροθ]ίνια τε̃ς Μαραθ[õ]νι μ[άχες]*) . . . *τῶν μέν ἐστιν ὁ θησαυρὸς* ***ἀπὸ*** *τοῦ Ἀττικοῦ πταίσματος»*, Ι' 13, 4 *«Φωκέων ἀναθήματά ἐστιν* ***ἀπὸ*** *Θεσσαλῶν ὁμόρων τε»*, 9 *«ἀνέθεσαν* ***ἀπὸ*** *ἔργου τοῦ Πλαταιᾶσιν»* 10 *«Ταραντῖνοι καὶ ἄλλην δεκάτην ἐς Δελφοὺς* ***ἀπὸ*** *βαρβάρων Πευκετίων ἀπέστειλαν»*, Ι' 15, 1 *«τὰ ἀγάλματα τοῦ Ἀπόλλωνος Ἐπιδαύριοι τὸ ἕτερον οἱ ἐν τῇ Ἀργολίδι* ***ἀπὸ*** *Μήδων . . . ἀνέθεσαν»*, 4 *«τὸν φοίνικα ἀνέθεσαν Ἀθεναῖοι . . .* ***ἀπὸ*** *ἔργων ὧν ἐπ' Ευρυμέδοντι . . . κατώρθωσαν»*, Ι' 16, 6 *«Καρύστιοι . . . βοῦν ἔστησαν* ***ἀπὸ*** *ἔργου τοῦ Μηδικοῦ»*, Ι' 18, 7 *«ὁ Ἀπόλλων . . . Μασσαλιωτῶν ἐστιν* ***ἀπὸ*** *τῆς πρὸς Καρχηδονίους ἀπαρχὴ ναυμαχίας»*, Ι' 19, 4 *«Ἀθηναῖοι τὰς ἀσπίδας* ***ἀπὸ*** *τοῦ ἔργου τοῦ Μαραθῶνι ἀνέθεσαν»* κλ. Προσέτι ἐκ λιθίνων μνημείων πρβ. Michel, *Rec.* 1031-2 1082, 1084-7, 1129-30 κ.ἄ..

[1] Οὕτω ἐν Σιμων. *ἀπ.* 36 *«Πέρσας ἑλόντες καὶ Μήδους»*, Ξενοφ. Ἑλλ. Γ'5,1 *«αἱρήσειν βασιλῆα»*, *Ἱππαρχ* Ε',14 *«ἢ βίᾳ ἢ τέχνῃ αἱρεῖν τοὺς ἐναντίους»*, Πλάτ. *Νόμ.* 698 d *«τοὺς Ἐρετριέας»*, Πίνδ. *Ὀλ.* Α' 88 *«ἕλεν Οἰνομάου βίαν»*. Πρβ. *Inschr. von Pergamon* 20 *«Βασιλεὺς Ἄτταλος νικήσας μά]χηι Τολιστ[οαγίους Γαλάτα]ς π[ερὶ πηγὰς] Καΐκ[ου ποταμοῦ χα]ριστή[ριον Ἀ]θη[νᾶι»* (περὶ τὸ 240 π. Χρ.), Παυσ. Ι' 11, 2 *«Ἀνέθεσαν δὲ καὶ ἀνδριάντας Λιπαραῖοι ναυμαχίᾳ κρατήσαντες Τυρρηνῶν»*, καὶ Ι' 15, 1 *«τὸ δὲ (ἄγαλμα) αὐτῶν Μεγαρεῖς ἀνέθεσαν, Ἀθηναίους μάχῃ πρὸς Νισαίᾳ κρατήσαντες»*· προσέτι πρβ. Karapanos, *Dodone et ses ruines* σ. 47 = Michel, *Rec.* 1129 *Ἀθεναῖοι* ***ἀπὸ*** *Πελοποννεσίων ναυμαχίαι νικέσαντες ἀ[νέθεσαν.*

[2] *Ἡροδ.* Η' 121 κέ..

[3] Πρβ. *Παυσ.* Ι' 14, 5.

[4] *Παυσ.* Ι' 14, 5-6.

[5] Πρβ. Πλουτ. *Θεμ.* ΙΕ'.

[6] Πλουτ. ἔ. ἄ. 22

[7] π. χ. *Παυσ.* Ι' 15, 1 καὶ 4, Ι' 16, 6 κλ..

Μή μοι Περσῆος σκύλων περικαλλέα κόσμον
νηῷ ἐγκατθῇς· ***οἴκόνδ' ἀπόπεμπε τάχιστα***,

ἴσως συμμορφοῦται πρὸς τὰς διαθέσεις τῶν Ἀθηναίων μὴ ἀνεχομένων οὐδεμίαν ἔξαρσιν προσωπικότητος ἐν τῇ πόλει, ἴσως ὑποδεικνύει αὐτῷ, ὅτι δὲν πρέπει νὰ χωρίζηται τῆς λοιπῆς πόλεως ἐν τῇ θριαμβευτικῇ ταύτῃ εὐσεβείᾳ.

Ἀφ' οὗ δὲ οἱ Ἀθηναῖοι διὰ τὴν ἐν Μαραθῶνι μάχην ὑφ' οἱανδήποτε ἀφορμὴν εἶχον ἱδρύσει καὶ μόνον ἐν Δελφοῖς δύο τοὐλάχιστον ἀναθήματα [1], τρίτου τινὸς ἀμφισβητουμένου [2], δὲν παρέλιπον δὲ νὰ τιμήσωσι δι' ἰδίου ἀναθήματος οὔτε τὴν ἐν Πλαταιαῖς [3] οὔτε τὴν ἐπ' Εὐρυμέδοντι μάχην [4], μοὶ φαίνεται ἀπαράδεκτον, ὅτι διὰ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν, ἥτις ἦτο μεγίστη τιμὴ τῶν Ἀθηνῶν καὶ εἰς ἣν ὤμνυον ὡς καὶ εἰς τὴν ἐν Μαραθῶνι καὶ τὴν ἐν Πλαταιαῖς μάχην [5], δὲν θὰ ἐφιλοδόξουν νὰ ἱδρύσωσι μνημεῖόν τι ἐν Δελφοῖς ἀλλὰ θὰ ἐπέτρεπον μόνῳ τῷ Θεμιστοκλεῖ νὰ ἐναβρύνηται ἐπ' αὐτῇ.

Ἡ μαρτυρία δὲ τοῦ Παυσανίου περὶ ὑπάρξεως καὶ ἑτέρου ἐπὶ τοῖς ἀκροθινίοις τοῖς ὑπὸ τὴν στοὰν ἐπιγράμματος ὀνομάζοντος, ἃς ὀνομάζει καὶ αὐτὸς ἑλληνίδας πόλεις, δεικνύει, ὅτι ἡ στοὰ μετὰ τὰ μηδικὰ ἐχρησιμοποιεῖτο ὡς γενικὸν τρόπαιον τῶν Ἀθηναίων, εἰς ὃ προσετίθεντο ἕτερα λάφυρα αὐτῶν λαμβανόμενα κατὰ θάλασσαν ἢ καὶ κατὰ ξηρὰν ἴσως. Εἰς τοῦτο δὲ βεβαίως συνετέλει καὶ ἡ νῦν σῳζομένη ἐπιγραφὴ τῆς στοᾶς διὰ τῆς ποικιλίας τῶν ἀναθημάτων, ὧν μνημονεύει, καὶ διὰ τῆς ἀοριστίας τοῦ πολεμίου.

## 4. Ἡ βάσις τῶν ἀκροθινίων τῆς Μαραθῶνι μάχης (εἰκ. 1).

Εἶνε γνωστὸν ὅτι ὁ θησαυρὸς τῶν Ἀθηναίων ἐν Δελφοῖς ἔχει πρὸ τῆς ἀνατολικῆς καὶ τῆς νοτίας πλευρᾶς ἀνὰ μίαν ὑψίπεδον τριγωνικὴν πλατεῖαν (**εἰκ. 1,** Α), ἔχουσάν ποτε πρὸς τὴν ἱερὰν ὁδὸν ἱδρυμένας τετραγώνους ἐνεπιγράφους στήλας. Εἰς τὸ βάθος τῆς νοτίας πλατείας καὶ παρ' αὐτὴν τὴν νοτίαν πλευρὰν τοῦ θησαυροῦ συνηρμολογήθη ἤδη




*Εἰκὼν 1. Αἱ ἀποδιδόμεναι εἰς τὸ ἀνάθημα τῶν ἀκροθινίων τοῦ Μαραθῶνος ἐν Δελφοῖς τρεῖς μορφαί, ὧν ἡ πρώτη (Α) οὐδέποτε ὑπῆρξε.*

ὀρθῶς βάσις τις ἐνεπίγραφος, ἀποτελουμένη ἐκ πλειόνων κατὰ μῆκος πλακῶν, οὖσα δὲ ἄλλοτε ὑψηλοτέρα, ἐλλιπούσης ἤδη ὑπὸ τὰς ἐνεπιγράφους πλάκας μιᾶς τοὐλάχιστον σειρᾶς λίθων.

Ἐκ τῶν ἐνεπιγράφων πλακῶν σῴζονται ὀκτώ, ὧν ἡ τρίτη ἐλλιπής. Αἱ ἀπολόμεναι ὑπολογίζονται εἰς τρεῖς. Τὸ σύνολον τῶν σῳζομένων πλακῶν καὶ τῶν ἐλλιπουσῶν, παρέχει τὴν ἐπιγραφὴν

***Ἀθενα|ῖοι τ||[ õ]ι Ἀπ|όλλον||[ι ἀπὸ Μέδ]||ον ἀκ||[ρο-θ]||ίνια τ|ε̃ς Μαραθ||[ õ]νι μ||[άχες].***

Ἡ ἐπιγραφὴ ἀναμφιβόλως δὲν πρέπει νὰ ἀναφέρηται εἰς τὸν παρακείμενον Ἀθηναϊκὸν θησαυρόν, καὶ διότι ἡ πλατεῖα καὶ τὸ ἐφ' οὗ κεῖται ἡ ἐπιγραφὴ βάθρον εἶνε προσκεκολλημένα μὲν ἀλλ' ἀσύμπλεκτα πρὸς τὰ κρηπιδώματα τοῦ θησαυροῦ ὡς εἶνε πιθανώτατα καὶ ἡ ἀνατολικὴ πλατεῖα, καὶ διότι ἐπὶ τῆς ἄνω ἐπιφανείας τῶν ἐνεπιγράφων πλακῶν ὁρῶνται τὰ ἴχνη τῶν ἱδρυμένων ποτὲ ἐνταῦθα ἀναθημάτων, ἅτινα ἡ ἐπιγραφὴ λέγει ***ἀκροθίνια***. Τὰ ἴχνη ταῦτα εἶνε ὀπαὶ καὶ μετάλλινα ἔμβολα, προ-

[1] Παυσ. Ι' 10, 1 κέ., Ι' 11, 5.
[2] Παυσ. Ι' 19, 4· πρβ. Αἰσχ. κ. Κτησ. 116.
[3] Αἰσχ. ἔ. ἄ.
[4] Παυσ. Ι' 15, 4.
[5] Δημ. ΙΗ' 208.

σέτι δὲ ἑκασταχοῦ περὶ τὰ σημεῖα ταῦτα ἀτριβής τις τῆς ἐπιφανείας τῶν λίθων ἔκτασις, ἥτις ἐκαλύπτετό ποτε ὑπὸ τῶν ἀκροθινίων καὶ προὐφυλάσσετο κατὰ τὸ ἐνὸν μᾶλλον ἢ ἡ λοιπὴ ἐπιφάνεια. Ἐπειδὴ ἡ λέξις ***ἀκροθίνια*** δύναται νὰ δηλοῖ καὶ μέρος τῶν ἐν πολέμῳ λαφυραγωγουμένων ὅπλων (ἵνα μὴ εἴπωμεν περὶ τῶν ἀπαρχῶν τῶν καρπῶν, περὶ ὧν δὲν πρόκειται ἐνταῦθα), ἀλλὰ καὶ πᾶν ἄλλο ἀνάθημα, ὅπερ γίνεται ἢ ὑποτίθεται, ὅτι γίνεται ἐκ τῶν πολεμικῶν λαφύρων [1], τὰ ἀκροθίνια ἐνταῦθα ἦσαν ἢ ὅπλα, ὡς εἶνε μέχρι τοῦδε παραδεδεγμένον, ἢ ἀγάλματά τινα χαλκᾶ, ὡς θὰ ὑποστηριχθῇ ἀλλαχόθεν, ἂν καὶ συνηθέστερον ἐν τοιαύτῃ περιπτώσει εἶνε νὰ ἔχωμεν ἐπὶ τοῦ λίθου ἔγκοιλον τὸ σχῆμα τῶν πελμάτων.

Ὅτι ἡ βάσις αὕτη ἔκειτο ἀρχικῶς ἐνταῦθα, ἔνθα ἐτέθη ἤδη, ἀποδεικνύεται καὶ ἐκ τῆς πλησίον εὑρέσεως τῶν πλειόνων ἐνεπιγράφων πλακῶν, καὶ ἐκ τῶν διαστάσεων τοῦ ὅλου μνημείου, προσφόρων πρὸς τὸν χῶρον κατὰ τὰς καταμετρήσεις τοῦ Martinaud καὶ τοῦ Colin, καὶ ἐκ τῆς ἀριστερᾶς πλευρᾶς τοῦ πρώτου λίθου, ἥτις δὲν εἶνε κάθετος πρὸς τὴν προσθίαν, διότι προσηρμόζετο πρὸς τὸ δυτικὸν ἄκρον χεῖλος τῆς πλατείας, μεθ' οὗ συνέπιπτε. Εἶνε δὲ τὸ δυτικὸν τοῦτο χεῖλος τῆς πλατείας οὐχὶ παράλληλον πρὸς τὴν δυτικὴν πλευρὰν τοῦ θησαυροῦ, ἀλλὰ βαίνει πρὸς βορρᾶν ἀποκλῖνον ἀπ' αὐτῆς καὶ σχηματίζον μετὰ τοῦ νοτίου χείλους ἀμβλεῖαν γωνίαν.

Τὸ μνημεῖον, ὡς λέγει ἡ ἐπιγραφή, ἱδρύθη ἀπὸ τῆς ἐν Μαραθῶνι μάχης, ἑπομένως μετὰ τὸ 490 π. Χρ. καὶ πιθανώτατα πρὸ τῆς ἐκστρατείας τοῦ Ξέρξου ἐπὶ τὴν Ἑλλάδα.

Ἀλλὰ τὰ κανονικὰ γράμματα τῆς ἐπιγραφῆς δὲν εἶνε δυνατὸν νὰ ἀναχθῶσιν εἰς τοὺς παλαιοὺς ἐκείνους χρόνους, εἰ καὶ ἡ ὀρθογραφία αὐτῶν (Ε καὶ Ο κεῖνται ἀντὶ Η καὶ Ω) καί τινες γραφικοὶ ἀρχαϊσμοὶ (ϟ, Ⱶ ἀντὶ Ϟ, Λ) εἶνε τοῦ πέμπτου αἰῶνος. Χαρακτηρισθέντων δὲ τῶν γραμμάτων ἐν γένει ὡς ἀνηκόντων εἰς τοὺς Μακεδονικοὺς καὶ δὴ τοὺς περὶ τὸν Ἀλέξανδρον τὸν Μέγαν χρόνους, ἐγένετο δεκτὴ μετασκευή τις ἢ ἀνανέωσις τοῦ ἀναθήματος ὑπὸ τῶν Ἀθηναίων, ἀναχθεῖσα εἰς τὸ ἔτος 339 π. Χρ., ὅτε καὶ αἱ ἀσπίδες αἱ ἀνηρτημέναι ὑπὸ τῶν Ἀθηναίων εἰς τὸν θριγκὸν τοῦ ναοῦ τοῦ Ἀπόλλωνος [1] ἀνενεώθησαν, ἐγένοντο δὲ καὶ ἄλλαι μετασκευαὶ ἐν τῷ τεμένει.

Ἂν καὶ κατὰ τὸν Δ' αἰῶνα ἐλήφθη φροντὶς περὶ ἀποκαταστάσεως ἀθηναϊκῶν ἀναθημάτων, τῷ 307 π. Χρ. [2], ὥστε θὰ ἦτο δυνατὸν νὰ μετατεθῇ καὶ ἡ τῶν ἀκροθινίων τούτων ἀποκατάστασις εἰς τὴν χρονολογίαν ταύτην, ἀλλ' ὅμως τὸ ζήτημα τοῦτο εἶνέ πως δευτερεῦον πρὸ τῶν ἀπιθάνων μεταβολῶν, αἵτινες ἐγένοντο δεκταὶ εἰς τὴν ὄψιν τοῦ ἀναθήματος.

Ἐπειδὴ δηλ. ἡ δεξιὰ πλευρὰ τοῦ ἑβδόμου τῶν σῳζομένων λίθων φέρει ψήφισμά τι γενόμενον ἐπὶ ἄρχοντος Ἀρχιδάμου, ὃν ὁ Pomtow [3] ἀνάγει εἰς τὸ 251-0 π.Χρ. κατέληξαν νὰ δεχθῶσι τὰς ἑξῆς τρεῖς μορφὰς τοῦ ἀναθήματος.

Α'). Κατ' ἀρχὰς τὸ μνημεῖον διῆκεν ***ἐν εὐθείᾳ γραμμῇ*** πλησίον καὶ παραλλήλως τῶν κρηπιδωμάτων τῆς νοτίας πλευρᾶς τοῦ θησαυροῦ, ἔχον ὁλικὸν μῆκος περίπου 13·37, οὗ 1·40 μὲν ἐμετρεῖτο ἀπὸ τῆς νοτιοδυτικῆς γωνίας τοῦ θησαυροῦ μέχρι τοῦ δυτικοῦ χείλους τῆς πλατείας, ἐφ' ἧς τὸ μνημεῖον κεῖται, 9·87 δὲ ἐμετρεῖτο κατὰ μῆκος τῆς νοτίας πλευρᾶς καὶ 2·13 πέραν τῆς νοτιοανατολικῆς γωνίας τοῦ θησαυροῦ ***ἐπὶ τῆς ἱερᾶς ὁδοῦ***, ἐχούσης τότε κατ' ἀκολουθίαν διάφορον ὄψιν ἢ νῦν ἐν τῷ μέρει τούτῳ. Ἡ κατάστασις αὕτη (***εἰκ. 1,*** Α) ἐπεκράτησε μέχρι τοῦ τετάρτου αἰῶνος.

Β'). Κατὰ τὸν τέταρτον αἰῶνα, ὡς φαίνεται ἐκ τῆς νῦν σῳζομένης «μακεδονικῶν χρόνων» ἐπιγραφῆς τοῦ μνημείου, ἀνανεοῦντες τὰ ἀκροθίνια καὶ τὴν ἐπιγραφὴν αὐτῶν καὶ διορθοῦντες ἴσως τὴν ἱερὰν ὁδόν, καλυπτομένην κατὰ τἀνωτέρω ὑπὸ τῆς πρὸς ἀνατολὰς κατὰ 2·13 προεκβολῆς τοῦ μνημείου, ἔκοψαν ἐγκαρσίως τὴν ἀριστερὰν πλευρὰν τοῦ λίθου 8, ὠθήσαντες δέ πως τοῦτον πρὸς τὰ ὀπίσω, προσήρμοσαν αὐτὴν πρὸς τὴν δεξιὰν πλευρὰν τοῦ λίθου 7 καί, ἀποκόψαντες τὴν ἐξέχουσαν δεξιὰν

[1] Πρβ. Colin, ***Fouilles de Delphes*** III, 2 σ.9 κέ.. Ἐνταῦθα μνημονεύονται πᾶσαι αἱ περὶ τοῦ δελφικοῦ τούτου μνημείου ἀξιόλογοι ἐργασίαι.

[1] Ὅρα ἄνω σελ. 162 σημ. 2.

[2] Πλουτ. *Δημητρ.* ΙΓ'.

[3] ***Delphische Chron.*** σ. 41. Πρβ. Baunack, ***Delph.Inschr.*** 2755 Ὀρθῶς εἰκάζει ὁ Baunack τὸ ὄνομα τοῦ τρίτου βουλευτοῦ ἐν τῇ ἐπιγραφῇ ὡς *Ἀγάζαλος* ἀντὶ *Ἀγασίλαος*. Ἐγὼ ἀνέγνωσα καθαρῶς *Ἀγάζαλος* ἀγνοῶν τὴν περὶ τούτου ἀμφιβολίαν· ὅρα νῦν καὶ Colin, ***Fouilles de Delphes*** II, 2 σ. 88 ἀρ. 71.

προσθίαν γωνίαν τούτου, ἐσχημάτισαν διὰ τῆς τομῆς ταύτης καὶ τῶν ἐπὶ τῆς αὐτῆς εὐθείας κειμένων λίθων 8 [καὶ 9] γραμμὴν σχηματίζουσαν μετὰ τοῦ πρὸς ἀριστερὰ ὑπολοίπου μείζονος μέρους τοῦ μνημείου γωνίαν ἀμβλεῖαν. Τὸ δεξιὸν ἐκεῖνο κεκαμμένον μέρος προσήγγισεν οὕτω παράλληλον πρὸς τὴν νοτιοανατολικὴν πλευρὰν τῆς ἀνατολικῆς τριγωνικῆς πλατείας τοῦ θησαυροῦ καὶ κατέλιπεν ἐλευθέραν πως τὴν ἱερὰν ὁδόν. Ὁ λίθος 8 τότε συνεδέθη μετὰ τοῦ 7 καὶ 9 διὰ συνδέσμων ⊓, ἐν ᾧ οἱ λοιποὶ λίθοι πρὸς τὰ ἀριστερὰ εἶνε ἐντελῶς ἀσύνδετοι πρὸς ἀλλήλους, οἱ δ' ὑπ' αὐτοὺς κείμενοι ἔχουσι συνδέσμους ⊢⊣ (ἕνα δὲ ⊢⊣ σύνθετον ὡς ὁ ἐπὶ τῆς βάσεως τοῦ τρίποδος τοῦ Γέλωνος)[1]. Ἡ μεταβολὴ αὕτη (εἰκ. 1, Β) πρέπει νὰ ἔγινεν, ὡς εἶπον ἤδη, κατὰ τὸ 339 π. Χρ..

Γ'). Ἤδη πρὸ τοῦ 250 π. Χρ. ἤτοι κατὰ τἀνωτέρω πρὸ τοῦ Ἀρχιδάμου ἄρχοντος, ἐπειδὴ πιθανῶς καὶ ἡ δευτέρα διευθέτησις τοῦ μνημείου, καλύπτοντος ὁπωσδήποτε ἔκτασιν τῆς ἱερᾶς ὁδοῦ, δὲν εὐηρέστει, προέβησαν εἰς ῥιζικωτέραν μεταβολὴν διὰ τῆς κολοβώσεως αὐτοῦ· ἀπεμάκρυναν δηλ. ἐντελῶς τὸ ἐπὶ τῆς ἱερᾶς ὁδοῦ ἐκτεινόμενον μέρος τοῦ μνημείου ἤτοι τοὺς λίθους 8 καὶ 9 οὕτως, ὥστε τὸ ἐπίγραμμα ἔμεινε κολοβόν, ἅτε λῆγον εἰς τὸ «*Μαραθῶ-*»! Τότε δὲ ἐπὶ τῆς ἐλευθέρας καὶ ὁρατῆς δεξιᾶς πλευρᾶς τοῦ λίθου 7 ἔγραψαν τὸ ἐπὶ Ἀρχιδάμου ἄρχοντος ψήφισμα. Εἰς τοιαύτην κατάστασιν (εἰκ. 1, Γ) εἶδεν ἐλλιπὲς τὸ μνημεῖον καὶ τὴν ἐπιγραφὴν ὁ Παυσανίας[2] καί, χωρὶς οὐδὲν περὶ τῆς ἐλλείψεως ταύτης νὰ σημειώσῃ, ἐνόησεν ὅμως ἐκ τῆς κολοβῆς λέξεως *Μαραθῶ-*, ὅτι ἡ ἐπιγραφὴ ἀνεφέρετο εἰς τὴν Μαραθῶνι μάχην.

Ἡ γνώμη αὕτη περὶ τῶν τυχῶν καὶ μετασκευῶν τοῦ ἀναθήματος μοὶ φαίνεται σφόδρα ἀπίθανος· πρῶτον διότι δέν μοι φαίνεται πολὺ εὐεξήγητον πῶς ὁ λίθος 8 ἀπομακρυνθεὶς πρὸ τοῦ 250 π. Χρ. δὲν κατεστράφη, οὐδ' ἐβλάβη εἰς δευτέραν χρῆσιν τεθείς, ἀλλ' ἀνευρέθη ἤδη ἔξω τοῦ τεμένους παρὰ τὴν ΝΔ γωνίαν τοῦ περιβόλου, ἔνθα ἦσαν ἰδιωτικὰ οἰκήματα βεβαίως· δεύτερον διότι τὰ γράμματα τῆς ἀναθηματικῆς ἐπιγραφῆς, διευρυνόμενα κατὰ τὰ ἄκρα τῶν γραμμῶν ἢ σκελῶν αὐτῶν, δὲν εἶνε δυνατὸν νὰ εἶνε τοῦ δ' αἰῶνος π. Χρ. ἀλλὰ νεώτερα, ἀναγόμενα τὸ πολὺ μέχρι μεσοῦντος τοῦ 6' αἰῶνος π. Χ.· τρίτον διότι ***τὰ γράμματα ταῦτα εἶνε πάντως νεώτερα τῶν τοῦ ψηφίσματος τοῦ ἐπὶ Ἀρχιδάμου ἄρχοντος***· τέταρτον, διότι δὲν ἐννοῶ παντάπασι, πῶς οἱ Ἀθηναῖοι ἠνέχθησαν νὰ εἶνε κολοβὴ ἡ ἐπιγραφὴ ἐπὶ αἰῶνας, ἐν ᾧ ἠδύναντο ἀποξέοντες αὐτὴν νὰ συμπυκνώσωσι τὰ γράμματα, ὥστε νὰ ὑπάρχῃ ἀρτία. Τῷ 215 π. Χρ. οἱ Ἀθηναῖοι εἶχον προσθέσει εἰς τὸ ἀνάθημα, τὸ πρὸς τιμὴν τοῦ Μιλτιάδου ἱδρυμένον[3], τὸν ἀνδριάντα τοῦ Πτολεμαίου, τοῦτο δὲ τοὐλάχιστον δεικνύει, ὅτι δὲν εἶχον ἐγκαταλίπει παρημελημένα καὶ ἔκθετα τὰ ἀναθήματα αὐτῶν. Πῶς λοιπὸν δὲν ἔστρεψαν τὴν προσοχὴν αὐτῶν εἰς τὸ ἀνάθημα τῶν ἀκροθινίων τοῦ Μαραθῶνος, ὅπερ ἦτο δόξα τῶν μεγίστων τῆς πόλεως, ἀλλὰ κατέλιπον αὐτὸ κολοβὸν ἐν τῷ μέσῳ τόσων ἀναθημάτων, τηλικαύτης ἐπιμελείας ἀπολαυόντων παρὰ τῶν ἀναθέντων αὐτά;

Νομίζω ὅτι ἄλλως πρέπει νὰ φαντασθῶμεν τὰς τύχας τοῦ ἀναθήματος.

Μεταξὺ τῶν γραμμάτων τῆς νῦν σῳζομένης ἀναθηματικῆς ἐπιγραφῆς διακρίνονται τὰ ἴχνη τῶν ἀποξεσθέντων παλαιῶν τῆς ἀρχικῆς ἐπιγραφῆς γραμμάτων. Ἐπὶ τοῦ λίθου 1 φαίνονται ἀμυδρὰ τὰ ἴχνη τῶν γραμμάτων Ο (=⊕) ΕΝΑ, ὧν τὸ πρῶτον ἐπὶ τοῦ ἀριστεροῦ ἡμίσεος τοῦ νεωτέρου Θ, τὸ δεύτερον μεταξὺ τοῦ Θ καὶ Ε, τὸ τρίτον μεταξὺ τοῦ Ε καὶ Ν καὶ τὸ τέταρτον ἑκατέρωθεν τοῦ πρώτου σκέλους τοῦ Ν. Ἐπὶ τοῦ λίθου 4 φαίνονται ἀμυδρὰ τὰ γράμματα ΟΙΑΚΡ, ὧν τὸ πρῶτον ἐπὶ τοῦ L, τὸ δεύτερον μεταξὺ τῶν δύο L, τὸ τρίτον μεταξὺ L καὶ Ο, τὸ τέταρτον ἐπὶ τοῦ Ο καὶ τὸ πέμπτον μεταξὺ Ο καὶ Μ. Ἐπὶ τοῦ λίθου 7, τοῦ μεγίστου πάντων, φαίνονται τρία γράμματα, μεταξὺ τῶν ὁποίων εἶνε ἴχνη καὶ ἄλλων. Τὰ φαινόμενα εἶνε Α μὲν πρὸ τοῦ νέου Ε, ≶ δὲ πρὸ τοῦ νέου ≶[4] καὶ Λ μεταξὺ τοῦ Α καὶ Ρ. Καὶ περαιτέρω δὲ πρὸς δεξιὰ ἐπὶ τοῦ λίθου 7 φαίνονται ἴχνη ἀπε-

[1] **ΑΜ 1909, 41 Α'.**

[2] ***Παυσ.* Γ' 11, 5.**

[3] ***Παυσ.* Ι' 10, 2.**

[4] Πρὸ τοῦ ἴχνους τοῦ ≶ διακρίνονται ἄλλα τινὰ ἴχνη δυσξύμβλητα, καὶ ἴσως ταῦτα εἶνε τὰ ἀνήκοντα εἰς τὴν παλαιὰν ἐπιγραφὴν ἕνεκα τῆς ἀπὸ τῶν προηγουμένων ἰχνῶν τοῦ Α ἀποστάσεως· τότε τὸ ἀπεξεσμένον ≶ εἶνε τῆς νέας ἐπιγραφῆς, ἀλλά, μὴ χαραχθὲν εἰς κανονικὴν θέσιν, ἀπεξέσθη καὶ ἐχαράχθη μικρὸν περαιτέρω.

ξεσμένα. ***Ἐπὶ τοῦ λίθου 8 οὐδὲν τοιοῦτον ἴχνος ἀποξέσεως εὑρίσκεται.***

Τὰ παλαιὰ ἀπεξεσμένα γράμματα τοῦ λίθου 1 συμπληροῦνται βεβαίως εἰς ***Ἀ]θενα[ῖοι]***. Τὰ τελευταῖα τρία ἀπεξεσμένα παλαιὰ γράμματα τοῦ λίθου 4 συμπληροῦνται ἐπίσης βεβαίως εἰς ***ἀκρ[οθίνια]***. Εἶνε δὲ ὡσαύτως βέβαιον, ὅτι τὰ ἀπεξεσμένα γράμματα ἦσαν κατά τι μικρότερα τῶν νέων καὶ πυκνότερα, ἀπέχοντα ἀλλήλων ἀπὸ ἄξονος εἰς ἄξονα 0·145-0·20, ἐν ᾧ τὰ νέα ἀπέχουσιν 0·25-0·29.

Ἂν ἐπιχειρήσωμεν συμπλήρωσιν ταύτης τῆς ἀποξεσθείσης ἀρχικῆς ἐπιγραφῆς, βλέπομεν, ὅτι ἡ θέσις τῶν λειψάνων αὐτῆς δὲν ἐπιτρέπει νὰ δεχθῶμεν, ὅτι αὕτη ἦτο λεκτικῶς καὶ συντακτικῶς πανομοιότυπον τῆς νεωτέρας. Ὁμοίαν δὲ παρατήρησιν ἐποιήσατο ὁ Bourguet εἰς τὴν ἀνανεωθεῖσαν ἐπιγραφὴν τῶν κάτω Ταραντίνων [1] καὶ εἰς τὴν ἐπίσης ἀνανεωθεῖσαν ἐπιγραφὴν τῶν ἄνω Λιπαραίων [2].

Μία δὲ τῶν δυνατῶν συμπληρώσεων — πάντως διαφόρων τῆς νεωτέρας ἐπιγραφῆς — εἶνε ἴσως ἡ ἑξῆς:

***Ἀ]θενα[ῖοι Ἀπόλλονι πυθί]οι ἀκρ[οθίνια τε̃ς Μαραθο̃νι μάχες ἀνέθεσαν] ἀ[πὸ Μέδον ἢ . . . ἀπὸ Μέδον] ἀ[νέθεσαν.***

Ἡ ἐπιγραφὴ οὕτω περιέχει γράμματα 63 ἐν συνόλῳ. Προστιθεμένου δὲ τοῦ τε σῳζομένου μήκους τῶν ὑπαρχόντων νῦν λίθων τῆς βάσεως μέχρι τῆς δεξιᾶς πλευρᾶς τοῦ λίθου 7 (ες Μαραθ) καὶ τοῦ τῶν ἀπολομένων ἢ βλαβέντων, συμφώνως πρὸς τὰς καταμετρήσεις τοῦ Martinaud καὶ τοῦ Colin, καὶ ὑπολογιζομένου ὅτι τὰ ἀπεξεσμένα γράμματα ἀπέχουσιν ἀλλήλων 0·145-0·20 ἤτοι κατὰ μέσον ὅρον 0·172, ἔχομεν·

| *λίθος* | *μῆκος* | *ἐπιγραφὴ νέα* |
|---|---|---|
| 1 | 1·244 | Ἀθενα |
| 2 | 1·127 | ῖοιτ |
| [3]3 | [1·097] | ὃ]·ἀπ |
| 4 | 1·119 | όλλον |
| [5] | [1·922] | [ιἀπὸμέδ] |
| 6 | 0·903 | ονἀκ |
| [7] | [0·903] | [ροθ] |
| 8 | 1·132 | ίνιατ |
| 9 | 2·012 | ἐςΜαραθο̃ |
| | 11·459 \| 172 | |
| | 1·159 66 | γράμματα |
| | 107 | |

Ἤτοι καὶ μαθηματικῶς (οὐχὶ μόνον κατὰ τὰ σῳζόμενα λείψανα) ἡ ἀρχικὴ ἐπιγραφὴ πρέπει νὰ εἶχε τὸν ἐν τῷ ἄνω συμπεπληρωμένῳ κειμένῳ ἀριθμὸν γραμμάτων, ἂν μάλιστα ἐξαιρέσωμεν κενόν τινα χῶρον μετὰ τὸ δεξιὸν τέρμα τῆς ἐπιγρα-

[1] Παυσ. Ι' 10, 6. *Fouilles de Delphes* III, 1 σ. 73 κέ.· πρβλ. τὸν ἐμὸν ***Guide de Delphes*** 34. Τὸν λίθον τοῦ μνημείου τούτου, τὸν φέροντα τὰ γράμματα ΙΩΝ, προσέθηκα ἐγὼ ἐνταῦθα, εὑρὼν αὐτὸν ἀποκείμενον πρὸς Ν ἔξω τοῦ περιβόλου.

[2] BCH 1911, 149· κέ.. Ἡ συμπλήρωσις τῆς ἐπιγραφῆς ταύτης δὲν πρέπει νὰ εἶνε ἡ παρεχομένη ὑπὸ τοῦ Bourguet ἐν τῷ κειμένῳ τῆς σελ. 152, ἀλλ' ἡ ἐν τῇ ὑποσημειώσει τῆς αὐτῆς σελίδος. Διότι, ὡς κεῖται ἐν τῷ εὑρετηρίῳ τοῦ μουσείου, ἔνθα ὑπ' ἀριθμὸν 4554 α κατέγραψα τὸν σχετικὸν λίθον ἤδη πρὸ τῆς 20 Μαρτίου 1907, ἡ ἄνω ἐπιφάνεια αὐτοῦ δεικνύει ΛΙΠΑRΑΙΤΟ. Ἐξελέγξας τὴν ἀνάγνωσίν μου ταύτην ἐπανειλημμένως, ἀνέγνωσα πάντοτε ἀσφαλῶς τὰ γράμματα ταῦτα. Ὥστε ἡ συμπλήρωσις ἐν τῇ ἀρχῇ πρέπει, ὡς καὶ ἐν τῷ εὑρετηρίῳ εἶνε γεγραμμένον ἔκτοτε ὑπ' ἐμοῦ, νὰ λέγῃ ***Κνίδιοι οἱ ἐν] Λιπάραι το....*** Μετὰ τὸ Ο φαίνεταί τι ὡς ἡ κάτω ἀριστερὰ γωνία τοῦ γράμματος Δ, τὸ δὲ λείψανον τοῦτο, ἂν ἦτο ἐπαρκῶς σαφές, θὰ ἦγεν ἡμᾶς νὰ συμπληρώσωμεν περαιτέρω οἱονεὶ «***τόδ'[Ἀπό]λ[λονι ἀνέθεκαν] δ[εκάταν ἀ]πὸ Τυρσαν[ο̃ν***. — Ὁ Pomtow Delphika II, 1909, 18 λέγει, ὅτι αὐτὸς ἀπέδωκε τοὺς λίθους τούτους εἰς τὸ ἀνάθημα τῶν Λιπαραίων. Ἀλλὰ κατὰ τὸν Σεπτέμβριον τοῦ 1908, ὅτε ἐμελέτα ἐν Δελφοῖς, εἶχεν εἰς τὴν διάθεσιν αὐτοῦ ὁλόκληρον τὸ εὑρετήριον τοῦ μουσείου καὶ ἦτο προσέτι ἀδείᾳ τοῦ τότε Γενικοῦ ἐφόρου τῶν Ἀρχαιοτήτων κάτοχος καὶ ἀκριβοῦς ἀντιγράφου ὁλοκλήρου τοῦ ἐπιγραφικοῦ μέρους τοῦ αὐτοῦ εὑρετηρίου, ἔνθα, ὡς νομισθέντες ἀκατάγραφοι, εἶχον περιγραφῆ ἤδη κατὰ τὸ 1907 δύο λίθοι τοῦ ἀναθήματος διὰ τῶν ἑξῆς: «4554 λίθοι φαιοὶ ἐγχώριοι δύο. Ἐρυθρωπὴ patina (γάνωμα).

α. [=ἀριθ. εὑρ. 724] Πλήρης τὰς διαστάσεις ἔμπροσθεν καὶ ἑκατέρωθεν· παχ. 0,285. πλ. ἀριστερὸν 0,82, πλ. δεξιὸν 0.64· μῆκ. 1,20. Εἰς τὸ πρόσωπον ἄνω ἐξέχουσα ἐλαφρῶς ταινία 0,075, ἄνω εἰς τὴν δεξιὰν ὄπισθεν γωνίαν ὀπὴ 0,08 διαμέτρου, 0,10 βάθους.

ΛΙΠΑRΑΙΤΟ

β. [=ἀριθ. εὑρ. 1000] Ὁ ἕτερος λίθος· ὄπισθεν λεῖος λαξευτός, ἑκατέρωθεν ἀδρῶς, κάτω ἀφανής. Ἐμπρὸς ὡς ὁ ἄνω. Πλ. 0,87, μῆκ. 1,03.

ΠΟΤΥRΣΑΝ

Ἡ ἐπιγραφὴ ἐπὶ τῆς ἄνω ἐπιφανείας εἰς ἀπόστασιν 0,15 ἀπὸ τῆς προσθίας ἀκμῆς. Ὕψος γραμμάτων 0,055. Τὸ εἰς τὸ τέλος τοῦ πρώτου λίθου λείψανον εἶνε ὡς ἡ κάτω ἀριστερὰ ἄκρα τοῦ Δ ἢ τοῦ Α ἢ Λ ἢ Ν ἢ Μ. Ἴσως εἶνε Δ. ***Ὁ ἔφορος Κεραμόπουλλος, συνενῶν τοὺς δύο λίθους, ἀποδίδει τούτους εἰς τὸ ἀνάθημα τῶν Λιπαραίων (Παυσ. Χ, 11, 3)***, συμπληροῖ δὲ περίπου «..Λιπάραι τόδ[ε.... ἀ]πὸ Τυρσαν[ο̃ν».

Νῦν μετὰ τὴν εὕρεσιν πολλῶν ἄλλων λίθων, ἀνηκόντων εἰς τὴν αὐτὴν ***μακρὰν*** βάσιν, φρονῶ, ὡς καὶ ἄλλοθεν θὰ δειχθῇ διεξοδικῶς, ὅτι οἱ λίθοι οὗτοι ἀνήκουσιν εἰς τὸ ἄνω ἀνάθημα τῶν Λιπαραίων Παυσ. Χ. 16,7 καὶ τάσσω αὐτοὺς ἐπὶ τοῦ πρὸς νότον παρὰ τὰς μεσημβρινὰς βαθμίδας ἀντερείσματος τοῦ ναοῦ, ὡς φαντάζομαι αὐτὸ ἐν τῷ ἐμῷ ***Ὁδηγῷ τῶν Δελφῶν*** σ. 59-60 (=***Guide de Delphes*** σ. 60). Ὅτι ὅμως ἤδη πρότερον οἱ ἀνασκάψαντες γάλλοι εἶχον ἀναγνωρίσει τὴν συνάφειαν τῶν ἄνω δύο λίθων, ἀποδεικνύεται ἐκ τῆς ἀποθέσεως αὐτῶν ὁμοῦ καὶ ἐν εὐταξίᾳ ἀπέναντι τοῦ θησαυροῦ τῶν Ἀθηναίων.

